FIGURA longe alia exstat in codicibus ABCE, ubi rectam $\alpha\beta$ secant duae circumferentiae fere parallelae $\gamma\varepsilon$ $\delta\eta\zeta$ (in AB omissum est η), circulus autem nullus comparet.

πορεύεται καὶ τὸ Δ τὴν ΔΖ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Δ τὴν ΔΖ διαπορεύεται καὶ τὸ Δ τὴν ΔΗ. καὶ εἰσὶν τοῦ αὐτοῦ κύκλου· ἴση ἄρα ἐστὶν ἡ ΔΗ τῇ ΔΖ, ἡ ἐλάσσων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὁμοία ἐστὶν ἡ ΓΕ τῇ ΔΗ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλῃ τινὶ πλὴν τῇ ΔΖ· ὁμοία ἄρα ἐστὶν ἡ ΓΕ περιφέρεια τῇ ΔΖ.

(ιγ) δ'. Ἐὰν ἐν σφαίρᾳ μένων μέγιστος κύκλος πρὸς ὀρθὰς ὢν τῷ ἄξονι ὁρίζῃ τό τε ἀφανὲς καὶ τὸ φανερὸν ἡμισφαίριον τῆς σφαίρας, στρεφομένης τῆς σφαίρας περὶ τὸν ἑαυτῆς ἄξονα οὐδὲν τῶν ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημείων οὔτε δύσεται οὔτε ἀνατελεῖ, ἀλλὰ τὰ μὲν ἐν τῷ φανερῷ ἡμισφαιρίῳ αἰεί ἐστι φανερά, τὰ δὲ ἐν τῷ ἀφανεῖ αἰεί ἐστιν ἀφανῆ.

Ἐν γὰρ σφαίρᾳ μένων ⟨μέγιστος⟩ κύκλος ὁ ΑΒ πρὸς ὀρθὰς ὢν τῷ ἄξονι ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές· λέγω ὅτι στρεφομένης τῆς σφαίρας περὶ τὸν ἑαυτῆς ἄξονα οὐδὲν τῶν ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημείων οὔτε δύσεται οὔτε ἀνατελεῖ.



(ιγ) Ὅ ἐστιν ἐπὶ τῆς μυλοειδοῦς κινήσεως· τότε γὰρ καὶ ὁ ἰσημερινὸς ὁρίζων γίνεται, καὶ ἐξ μηνῶν ἡ ἡμέρα καὶ ἐξ μηνῶν ἡ νύξ.

1) Sic enim suppositum est.

PROPOS. 4: Pappus collect. 6 cap. 34 (p. 520). Ad eandem Maurolycus fol. 61ᵛ adnotat: 'Nam talis circulus manens est communis limes talium hemisphaeriorum, et per primam huius, puncta singula suos seorsum parallelos semper in alterutro hemisphaeriorum describent.' Praeterea haec scholia antiqua duo affert Auria p. 27 sq.: 'Schol. 1. Quod proponit Au-

etiam punctum γ ipsum $\gamma\varepsilon$ et δ ipsum $\delta\zeta$ percurrunt[1]); ergo punctum δ aequali tempore et $\delta\zeta$ et $\delta\eta$ percurrit. Et *arcus* sunt eiusdem circuli; ergo $\delta\eta$ ipsi $\delta\zeta$, minor maiori, aequalis est, id quod fieri non potest; ergo $\gamma\varepsilon$ non similis est ipsi $\delta\eta$. Similiter demonstrabimus nullum alium praeter $\delta\zeta$ similem esse; ergo arcus $\gamma\varepsilon$ ipsi $\delta\zeta$ similis est.

Prop. 4

IV. Si in sphaera maximus circulus manens, perpendicularis ad axem, distinguet occultum et conspicuum hemisphaerium, et sphaera circa suum axem convertetur, nullum eorum quae sunt in superficie sphaerae punctorum neque occidet neque orietur, sed ea quae sunt in conspicuo hemisphaerio semper conspicua sunt, et quae in occulto semper occulta.

In sphaera enim maximus circulus manens $\alpha\beta$, perpendicularis ad axem, distinguat conspicuam sphaerae *partem* et occultam; dico, si sphaera circa axem suum convertetur, nullum eorum quae sunt in superficie sphaerae punctorum neque occasurum esse neque oriturum.

---

tolycus, in motu sphaerae rotundo accidit, videlicet ubi circulus Aequinoctialis est Horizon: tunc enim cuncta astra per circulos ipsi aequinoctiali parallelos feruntur: et sex mensibus dies continuus est, et sex iterum mensibus perpetua nox. — Schol. 2. Idem, quod Autolycus, ostendit etiam Theodosius propositione 1. libri de habitationibus: Hoc autem accidit iis, qui sub Polo degunt: Lege quae in 1. Theod. de habitationibus sunt annotata: huc etenim spectant: Vide etiam et Decimam eiusdem Theod. in eodem libro de Habitationibus.' Ad Auriae Schol. 1 conf. Graecum $\iota\gamma$. Quo sensu ab Autolyco *μένων κύκλος* dictus sit, pluribus exponit Th. H. Martin in *Revue critique,* 1877, premier semestre, p. 414 (conf. indicem nostrum s. v.).

FIGURA diversa est in codicibus ABCE, duo scilicet circuli circa unum centrum descripti, quorum maior $\alpha\beta$, minor $\gamma\delta$ notatus est.

Εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας τὸ Γ, καὶ ἔστω [παράλληλος] κύκλος καθ' οὗ
(ιδ) *φέρεται τὸ Γ σημεῖον ὁ ΓΔ· ὁ ΓΔ ἄρα κύκλος πρὸς*
(ιε) *ὀρθάς ἐστιν τῷ ἄξονι. ἀλλὰ καὶ ὁ ΑΒ· παράλληλος ἄρα ἐστὶν ὁ ΓΔ κύκλος τῷ ΑΒ κύκλῳ. εἰ ἄρα τὸ Γ σημεῖον δύσεται ἢ ἀνατελεῖ, συμβαλεῖ ὁ ΓΔ κύκλος*
(ις) *τῷ ΑΒ ὁρίζοντι, ὅπερ ἐστὶν ἄτοπον· ἔστιν γὰρ αὐτῷ παράλληλος· οὐκ ἄρα τὸ Γ σημεῖον δύσεται ἢ ἀνατελεῖ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πάντα τὰ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημεῖα οὔτε δύσεται οὔτε ἀνατελεῖ, ἀλλὰ τὰ μὲν ἐν τῷ φανερῷ διὰ παντός ἐστιν ἐν τῷ φανερῷ, τὰ δὲ ἐν τῷ ἀφανεῖ διὰ παντός ἐστιν ἐν τῷ ἀφανεῖ.*



(ιζ) *ε'. Ἐὰν διὰ τῶν πόλων τῆς σφαίρας κύκλος μένων ὁρίζῃ τό τε φανερὸν καὶ τὸ ἀφανές, πάντα τὰ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημεῖα στρεφομένης αὐτῆς καὶ δύσεται καὶ ἀνατελεῖ καὶ τὸν ἴσον χρόνον ὑπέρ τε τὸν ὁρίζοντα ἐνεχθήσεται καὶ ὑπὸ τὸν ὁρίζοντα.*

Διὰ γὰρ τῶν πόλων τῆς σφαίρας κύκλος μένων ὁ ΑΒΓ ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές· λέγω ὅτι στρεφομένης τῆς σφαίρας ἐν τῇ περιφορᾷ πάντα τὰ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημεῖα καὶ δύνει καὶ ἀνατέλλει.

(ιδ) *Διὰ τοῦ α' τούτου.*
(ιε) *Διὰ τοῦ ιδ' τοῦ ια' Εὐκλείδου.*
(ις) *Οἱ γὰρ παράλληλοι οὐ συμπίπτουσιν.*
(ιζ) *Ὅ ἐστιν ἐπὶ τῆς ὀρθῆς σφαίρας· τότε γὰρ καὶ ὁ ὁρίζων διὰ τῶν πόλων ἐστὶ τῆς σφαίρας καὶ ἀεὶ ἰσημερία.*

1) Autol. propos. 1 huius (conf. *σχόλιον ιδ*).

Sumatur enim punctum quoddam in superficie sphaerae γ, et circulus, per quem punctum γ fertur, sit $\gamma\delta$; ergo circulus $\gamma\delta$ perpendicularis est ad axem[1]). Verum etiam circulus $\alpha\beta$; ergo circulus $\gamma\delta$ ipsi $\alpha\beta$ parallelus est[2]). Si igitur punctum γ aut occidet aut orietur, circulus $\gamma\delta$ continget horizontem $\alpha\beta$, id quod absurdum est (nam eidem parallelus est); ergo punctum γ neque occidet neque orietur. Similiter demonstrabimus omnia reliqua in superficie sphaerae puncta neque occasura esse neque oritura, sed ea quae in conspicuo sunt semper esse conspicua, et quae in occulto semper esse occulta.

V. Si circulus per polos sphaerae *transiens et* manens distinguet conspicuum et occultum, omnia in superficie sphaerae puncta, dum ipsa vertetur, et occident et orientur et aequale tempus super horizontem ac sub horizonte ferentur. Prop. 5

Per polos enim sphaerae circulus manens $\alpha\beta\gamma$ distinguat conspicuam sphaerae *partem* et occultam; dico, si sphaera convertatur, in conversione omnia in superficie sphaerae puncta et occidere et oriri.

---

2) Eucl. elem. 11, 14 (conf. σχόλιον ιε).

PROPOS. 5: Pappus collect. 6 cap. 35 (p. 520). Ad eandem Maurolycus fol. 61^{v} adnotat: 'Nam talis circulus manens, per 20^{m} [*lege* 15^{m}] primi sphaericorum Theodosii, secat per aequalia singulos parallelos, hoc est in semicirculos. Quare per 2^{m} huius, per aequale tempus punctorum unumquodque feretur utrinque a circulo secante.' Accedunt duo scholia apud Auriam p. 28: 'Schol. 1. Hoc evenit iis, qui sphaeram rectam incolunt: tunc etenim Horizon per sphaerae polos est ductus, secatque circulum Aequinoctialem, et omnes ipsi parallelos circulos in partes aequales: et semper aequinoctium est. (Lege praeterea, quae in 5. partem prop. 2. Euclid. Phaenomenwn sunt adnotata.) — Schol. 2. Idem ostendit Theod. prop. 2 lib. de Habitationib. Hoc autem illis accidit, qui degunt sub aequinoctiali.

Ἔστω γάρ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας τὸ Δ, καὶ ἔστω παράλληλος κύκλος καθ' οὗ
(ιη) φέρεται τὸ Δ σημεῖον ὁ ΒΔΓΕ· ἐν τῇ ἄρα περιφορᾷ τῆς σφαίρας τὸ Δ σημεῖον, ὅταν μὲν κατὰ τὸ Γ γέ-
(ιθ) νηται, ἀνατέλλει, ὅταν δὲ κατὰ τὸ Β, δύνει. καὶ ἐπεὶ ὁ ΑΒΓ κύκλος τὸν ΒΔΓΕ κύκλον διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ ⟨καὶ πρὸς ὀρθάς⟩· ἡμικύκλιον ἄρα ἐστὶν ἑκάτερον τῶν ΒΕΓ ΒΔΓ· τὸ Δ ἄρα σημεῖον αἰεὶ κατὰ τὰ αὐτὰ σημεῖα τοῦ ΑΒΓ κύκλου καὶ δύσεται καὶ ἀνατελεῖ καὶ τὸν ἴσον χρόνον ὑπὲρ τὸν ὁρίζοντα ἐνεχθήσεται καὶ ὑπὸ τὸν ὁρίζοντα. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πάντα τὰ ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας σημεῖα καὶ δύσεται καὶ ἀνατελεῖ καὶ τὸν ἴσον χρόνον ὑπέρ τε τὸν ὁρίζοντα ἐνεχθήσεται καὶ ὑπὸ τὸν ὁρίζοντα.



(κ) ϛ'. Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος μένων ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανὲς λοξὸς ὢν πρὸς τὸν ἄξονα, ἐφάψεται δύο κύκλων ἴσων τε καὶ παραλλήλων ἀλλήλοις, καὶ τούτων ὁ μὲν πρὸς τῷ φανερῷ πόλῳ αἰεὶ ἔσται φανερός, ὁ δὲ πρὸς τῷ ἀφανεῖ αἰεὶ ἀφανής.

(ιη) Εἰ γὰρ ὁ ΕΒΔΓ κύκλος πρὸς ὀρθάς ἐστι τῷ ἄξονι διὰ τὸ α', ὁ δὲ ΓΒΑ ἐπὶ τῆς ἑαυτοῦ ἐπιφανείας ἔχει τὸν ἄξονα, δῆλον ὅτι ὁ ΕΒΔΓ κύκλος τέμνει τὸν ΒΑΓ, ὥστε, καθό ἐστιν ἡ τομή, κατὰ τὸ Γ ἀνατέλλει καὶ κατὰ τὸ ἕτερον τῆς τομῆς, τὸ Β, δύνει.

(ιθ) Διὰ τοῦ ιε' τοῦ α' τῶν σφαιρικῶν.

(κ) Ὅ ἐστιν ἐπὶ τῆς καθ' ἡμᾶς οἰκήσεως, ὅταν ὁ πόλος τῆς σφαίρας μήτε ἐπὶ τοῦ ὁρίζοντος ᾖ μήτε κατὰ κορυφήν.

Sit enim punctum quoddam in superficie sphaerae δ, et sit circulus parallelus, per quem punctum δ fertur, $\beta\delta\gamma\varepsilon$; ergo in conversione sphaerae punctum δ, si ad γ pervenerit, oritur, sin vero ad β, occidit[1]). Et quia circulus $\alpha\beta\gamma$ circulum $\beta\delta\gamma\varepsilon$ per polos secat, secabit eum et bifariam et ad rectos angulos[2]); ergo semicirculi sunt $\beta\varepsilon\gamma$ $\beta\delta\gamma$; itaque punctum δ semper in iisdem punctis circuli $\alpha\beta\gamma$ et occidet et orietur et aequale tempus super horizontem ac sub horizonte feretur. Similiter demonstrabimus omnia reliqua in superficie sphaerae puncta *item* et occasura et oritura esse et aequale tempus super horizontem ac sub horizonte latum iri.

Prop. 6

VI. Si in sphaera maximus circulus manens, obliquus ad axem, distinguet conspicuam sphaerae *partem* et occultam, tanget duos circulos aequales inter se et parallelos[3]), quorum alter, conspicuo polo propinquus, semper erit conspicuus, alter autem, occulto *polo* propinquus, semper occultus.

Lege, quae sunt annotata in 2. Theod. de Habitationibus: Etenim huius loci sunt.' Ad Auriae Schol. 1 conf. Graecum $\iota\zeta$, et de circulo qui $\mu\acute{\varepsilon}\nu\omega\nu$ dicitur Martin. l. c.



FIGURAM nostra coniectura delineavimus pro hac quae exstat in codicibus ABCE:

1) Conf. σχόλιον ιη.

2) Theodos. sphaer. 1, 15 (conf. σχόλ. ιθ).

PROPOS. 6: Pappus collect. 6 cap. 36 (p. 520), Martinus l. c.

3) Constat hoc manifeste per 10^m [*lege* 8^m] secundi sphaericorum Theodosii. MAUROLYCUS.

Ἐν γὰρ σφαίρᾳ μένων μέγιστος κύκλος ὁ ΑΒΓ λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές· λέγω ὅτι ὁ ΑΒΓ κύκλος ἐφάψεται δύο κύκλων ἴσων τε καὶ παραλλήλων ἀλλήλοις, καὶ τούτων ὁ μὲν πρὸς τῷ φανερῷ πόλῳ αἰεὶ ἔσται φανερός, ὁ δὲ πρὸς τῷ ἀφανεῖ αἰεὶ ἔσται ἀφανής.

Ἔστω γὰρ ὁ πόλος τῆς σφαίρας ὁ φανερὸς ὁ Δ, καὶ διὰ τοῦ Δ καὶ τῶν τοῦ ΑΒΓ κύκλου πόλων μέγιστος κύκλος γεγράφθω ὁ ΑΔΕ, καὶ κείσθω τῇ ΑΔ περιφερείᾳ ἴση ἡ ΓΕ, καὶ πόλῳ τῷ Δ διαστήματι δὲ τῷ ΑΔ κύκλος γεγράφθω ὁ ΑΖΗ, πόλῳ δὲ τῷ Ε διαστήματι δὲ τῷ ΕΓ κύκλος γεγράφθω ὁ ΓΘΚ·
(κα) φανερὸν δὴ ὅτι ὁ ΑΖΗ κύκλος τῷ ΓΘΚ κύκλῳ ἴσος τε καὶ παράλληλός ἐστιν καὶ ἔτι ὁ ΑΒΓ κύκλος τῶν
(κβ) ΑΖΗ ΓΘΚ κύκλων ἐφάπτεται· λέγω δὴ ὅτι καὶ ὁ

(κα) Διὰ τοῦ β′ καὶ γ′ τοῦ β′ τῶν σφαιρικῶν.

(κβ) Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΓΕ, κοινὴ προσκείσθω ἡ ΔΓ· ὅλη ἄρα ἡ ΑΔΓ ὅλῃ τῇ ΔΓΕ ἴση ἐστίν. ἡμικυκλίου δὲ ἡ ΑΔΓ· ἡμικυκλίου ἄρα καὶ ἡ ΔΓΕ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Δ τῷ Ε. καὶ ἔστι τὸ Δ πόλος τοῦ ΑΗΖ· καὶ τὸ Ε ἄρα πόλος τοῦ αὐτοῦ· κατὰ διάμετρον γὰρ οἱ πόλοι, ὡς ἐκ πορίσματος ἐν τῷ α′. πάλιν ἐπεὶ τὸ Ε πόλος τοῦ ΓΘΚ, κατὰ διάμετρον δὲ τῷ Ε τὸ Δ, καὶ τὸ Δ ἄρα πόλος ἐστὶ τοῦ ΓΘΚ. οἱ δὲ περὶ τοὺς αὐτοὺς ὄντες πόλους παράλληλοι. ἴσοι δέ, ἐπειδὴ αἱ ἐκ τῶν πόλων αἱ ΔΑ ΓΕ ἴσαι εἰσί. καὶ ἐπεὶ δύο κύκλοι οἱ ΑΒΓ ΑΖΗ μεγίστου τινὸς κύκλου περιφέρειαν τὴν ΑΔΓΕ κατὰ τὸ αὐτὸ σημεῖον τέμνουσι, τοὺς πόλους ἔχοντες ἐπ' αὐτοῦ, ἐφάψονται ἀλλήλων οἱ κύκλοι.

FIGURA, quam codices ABCE exhibent, similiter ac prior (p. 17 adnot.) quodammodo in planum explicata est. Comparet enim maior circulus αλβγ, in quem inscriptus est minor αζη, cuius centrum δ esse unus quidem codex E significat. Maioris autem circuli diametrus αγ ultra γ ad ε pertinet, et ductus est semicirculus αηε item ultra circulum αλβγ. Denique circa centrum ε descriptus est minor circulus γθκ.

In sphaera enim manens circulus maximus $\alpha\beta\gamma$, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam; dico circulum $\alpha\beta\gamma$ tacturum esse duos circulos aequales inter se et parallelos, quorum alter, conspicuo polo propinquus, semper conspicuus erit, alter autem, occulto *polo* propinquus, semper erit occultus.



Sit enim conspicuus sphaerae polus δ, et per δ et circuli $\alpha\beta\gamma$ polos describatur maximus circulus $\alpha\delta\gamma\varepsilon$ [1]), et arcus $\gamma\varepsilon$ ponatur ipsi $\alpha\delta$ aequalis [2]), et polo δ intervalloque $\alpha\delta$ describatur circulus $\alpha\zeta\eta$, polo autem ε intervalloque $\varepsilon\gamma$ describatur circulus $\gamma\vartheta\varkappa$; apparet igitur circulum $\alpha\zeta\eta$ circulo $\gamma\vartheta\varkappa$ aequalem et parallelum esse et circulum $\alpha\beta\gamma$ circulos $\alpha\zeta\eta$ $\gamma\vartheta\varkappa$

1) Qua ratione talis circulus describatur, docet Theodosius sphaer. 1, 20.

2) Scholio antiquo, quod est apud Auriam p. 29, primum supponitur rectas $\alpha\gamma$ $\delta\varepsilon$ se invicem secare, tum ex Eucl. elem. 1, 15 rectas $\alpha\delta$ $\gamma\varepsilon$, ideoque etiam propter elem. 3, 28 arcus $\alpha\delta$ $\gamma\varepsilon$ inter se aequales esse demonstratur. Attamen paulo aliter ipsius scriptoris sententia explicanda esse videtur. Quoniam enim maximorum circulorum $\alpha\beta\gamma$ $\alpha\delta\gamma$ circumferentiae ex constructione se secant in α, alterum sectionis punctum erit γ, et circulorum plana se secabunt in recta $\alpha\gamma$. Iam a δ ad dimidiam $\alpha\gamma$, id est ad centrum sphaerae (quod littera μ notemus), ducatur recta $\alpha\mu$ eaque producatur ad ε, et ponatur $\mu\varepsilon = \mu\delta$. Ergo punctum ε erit in superficie sphaerae. Iam facile demonstratur rectam $\varepsilon\gamma$ aequalem esse rectae $\delta\alpha$, itaque etiam arcum $\varepsilon\gamma$ arcui $\delta\alpha$.

μὲν ΑΖΗ κύκλος αἰεί ἐστι φανερός, ὁ δὲ ΓΘΚ αἰεί ἐστιν ἀφανής.

Εἰ γὰρ μὴ ἔστιν ὁ ΑΖΗ κύκλος αἰεὶ φανερὸς ἐν τῇ περιφορᾷ τῆς σφαίρας, ὁ ΑΖΗ κύκλος συμβαλεῖ τῷ ΑΒΓ ὁρίζοντι. συμβαλλέτω κατὰ τὸ Λ σημεῖον, (κγ) καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ ΔΛ ΑΓ. ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΔΓ κύκλον τινὰ τῶν ἐν τῇ σφαίρᾳ τὸν ΑΒΓ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· διάμετρος ἄρα ἐστὶν ἡ ΑΓ τοῦ ΑΒΓ κύκλου. καὶ ὁ ΑΔΓ κύκλος ὀρθός ἐστι πρὸς τὸν ΑΒΓ κύκλον· κύκλου δή τινος τοῦ ΑΒΓ ἐπὶ διαμέτρου τῆς ΑΓ τμῆμα κύκλου ὀρθὸν ἐφέστηκεν τὸ ΑΔΓ, καὶ ἡ τοῦ ἐφεστῶτος τμήματος περιφέρεια εἰς ἄνισα τέμνεται κατὰ τὸ (κδ) Δ, καὶ ἔστιν ἐλάσσων ἡ ΑΔ (τοῦτο γὰρ φα- (κε) νερόν)· ἡ ἄρα ΑΔ εὐθεῖα ἐλαχίστη ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτουσῶν εὐθειῶν· ὥστε ἐλάσσων (κς) ἐστὶν ἡ ΑΔ εὐθεῖα τῆς ΔΛ εὐθείας. ἀλλὰ καὶ ἴση (πόλος γάρ ἐστιν τὸ Δ σημεῖον τοῦ ΑΖΗ κύκλου),



(κγ) Διὰ τοῦ ιε' τοῦ α' τῶν σφαιρικῶν.

(κδ) Ἐπειδὴ ὁ ΑΗΖ ἐφάπτεται τοῦ ΑΔΓ· διὸ οὐ μέγιστος· ὥστε ἡ ἐκ τοῦ πόλου αὐτοῦ ἡ ΔΛ ἐλάσσων τεταρτημορίου· διὸ ἡ διχοτομία τοῦ ΑΓ ἡμικυκλίου οὐκ ἔστι τὸ Δ.

(κε) Διὰ τοῦ α' τοῦ γ' τῶν σφαιρικῶν.

(κς) Διὰ τοῦ ε' ὅρου τοῦ α' τῶν σφαιρικῶν.

tangere[1]); iam dico circulum $\alpha\zeta\eta$ semper conspicuum et $\gamma\vartheta\kappa$ semper occultum esse.

Nam circulus $\alpha\zeta\eta$, si in conversione sphaerae non semper conspicuus erit, horizontem $\alpha\beta\gamma$ secabit. Secet in puncto λ, et iungantur rectae $\alpha\delta$ $\delta\lambda$ $\alpha\gamma$. Quoniam in sphaera maximus circulus $\alpha\delta\gamma$ alium in eadem sphaera circulum $\alpha\beta\gamma$ per polos secat, bifariam eum et ad rectos angulos secabit[2]); ergo $\alpha\gamma$ diametrus est circuli $\alpha\beta\gamma$. Et circulus $\alpha\delta\gamma$ perpendicularis est ad circulum $\alpha\beta\gamma$; circulo igitur $\alpha\beta\gamma$ in diametro $\alpha\gamma$ perpendiculare insistit segmentum $\alpha\delta\gamma$, et circumferentia eius segmenti inaequaliter secatur in δ, et minor est arcus $\alpha\delta$ (hoc enim manifestum[3]); ergo recta $\alpha\delta$ minima est omnium quae a δ ad circulum $\alpha\beta\gamma$ deducuntur[4]); itaque recta $\alpha\delta$ minor est quam $\delta\lambda$. Sed *eadem* etiam aequalis (nam punctum δ polus est circuli $\alpha\zeta\eta$), id quod absurdum est; ergo in con-

1) Scholio, quod Auria p. 29 sq. ex Graeco (vide σχόλ. κβ) convertit, primum demonstratur rectam $\delta\varepsilon$ diametrum sphaerae, ideoque puncta δ ε polos circuli $\gamma\vartheta\kappa$, et propter Theodos. sphaer. 2, 2 (vide σχόλ. κα) circulos $\alpha\zeta\eta$ $\gamma\vartheta\kappa$ inter se parallelos esse. Sed eosdem etiam aequales, quia rectae ex polis ductae $\delta\alpha$ $\varepsilon\gamma$ aequales sint (supra p. 19 adn. 2). Et quoniam duo circuli $\alpha\beta\gamma$ et $\alpha\zeta\eta$ maximi circuli $\alpha\delta\gamma\varepsilon$ circumferentiam in eodem secent puncto atque in eo ipso maximo circulo polos habeant, propter sphaer. 2, 3 (vide σχόλ. κα) circulos $\alpha\beta\gamma$ $\alpha\zeta\eta$ se mutuo in puncto α tangere (itemque circulos $\alpha\beta\gamma$ $\gamma\vartheta\kappa$ in puncto γ).

2) Theodos. sphaer. 1, 15 (conf. σχόλιον κγ).

3) Quoniam vero circulus AFG [id est $\alpha\zeta\eta$] tangit circulum ABC [id est $\alpha\beta\gamma$] in puncto A, ideo maximus circulus non est: quare recta linea DA, ex ipsius polo ducta, minor est quarta circuli [circumferentiae] parte, et propterea semicirculi AC bipartita sectio non est D punctum. Quare semicirculi AC pars minor est AD circumferentia. SCHOLIUM ANTIQUUM apud Auriam p. 30, expressum e Graeco κδ.

4) Theodos. sphaer. 3, 1 (conf. σχόλιον κε).

ὅπερ ἄτοπον· ἐν ἄρα τῇ περιφορᾷ τῆς σφαίρας ὁ ΑΖΗ κύκλος οὐ δύσεται. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ὁ ΓΘΚ ἀνατελεῖ· ὁ μὲν ΑΖΗ ἄρα κύκλος αἰεί ἐστιν φανερός, ὁ δὲ ΓΘΚ αἰεί ἐστιν ἀφανής.

ζ'. Ἐὰν ὁ ὁρίζων ἐν τῇ σφαίρᾳ κύκλος τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανὲς λοξὸς ᾖ πρὸς τὸν ἄξονα, οἱ τῷ ἄξονι πρὸς ὀρθὰς ὄντες κύκλοι καὶ τέμ-
(κζ) νοντες τὸν ὁρίζοντα κατὰ τὰ αὐτὰ σημεῖα αἰεὶ τοῦ ὁρίζοντος τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιοῦνται, ἔτι δὲ καὶ ὁμοίως ἔσονται κεκλιμένοι πρὸς τὸν ὁρίζοντα.



Ἔστω ἐν σφαίρᾳ κύκλος ὁρίζων τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανὲς ὁ ΑΒΔΓ λοξὸς ὢν πρὸς τὸν ἄξονα, οἱ δὲ τῷ ἄξονι πρὸς ὀρθὰς ὄντες κύκλοι ἔστωσαν οἱ ΑΒ ΓΔ· λέγω ὅτι οἱ ΑΒ ΓΔ κύκλοι κατὰ τὰ αὐτὰ σημεῖα αἰεὶ τοῦ ὁρίζοντος τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιοῦνται [καὶ διὰ μὲν τῶν Δ Β σημείων τὰς ἀνατολὰς ποιοῦνται, διὰ δὲ τῶν Α Γ τὰς δύσεις].

(κη) Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ποιείσθω ὁ ΑΒ κύκλος δι' ἄλλου τινὸς σημείου τὴν ἀνατολὴν τοῦ Ε, διὰ δὲ τοῦ Α τὴν δύσιν, καὶ ἔστω ὁ πόλος τῶν παραλλήλων κύκλων τὸ Ζ σημεῖον, καὶ διὰ τοῦ Ζ καὶ τῶν τοῦ ΑΒΔΓ κύκλου πόλων μέγιστος κύκλος γεγράφθω ὁ

(κζ) Τουτέστι καθ' ἃ ποιοῦσι σημεῖα οἱ παράλληλοι πρὸς τὸν ὁρίζοντα.

(κη) Εἰ γὰρ ὁ ΑΒ κύκλος δι' ἄλλου σημείου τὴν ἀνατολὴν ποιήσει τοῦ Ε, καὶ δι' ἄλλου παρὰ τὸ Α τὴν δύσιν, ἔσεται κεκλιμένος πρὸς τὸν ἄξονα τῆς σφαίρας, ὅπερ οὐχ ὑπόκειται.

versione sphaerae circulus $\alpha\zeta\eta$ non occidet. Similiter demonstrabimus circulum $\gamma\vartheta\varkappa$ non oriturum esse; ergo circulus $\alpha\zeta\eta$ semper conspicuus, circulus autem $\gamma\vartheta\varkappa$ semper occultus est.

Prop. 7

VII. Si *horizon*, *id est* circulus qui in sphaera conspicuam sphaerae *partem* et occultam distinguit, obliquus ad axem sit, circuli qui ad axem perpendiculares sunt et horizontem secant semper in iisdem horizontis punctis et oriuntur et occidunt iidemque similiter inclinati erunt ad horizontem.

Sit in sphaera circulus conspicuam sphaerae *partem* et occultam distinguens $\alpha\beta\delta\gamma$ obliquus ad axem, circuli autem ad axem perpendiculares sint $\alpha\beta$ $\gamma\delta$; dico circulos $\alpha\beta$ $\gamma\delta$ semper in iisdem horizontis punctis et oriri et occidere [et oriri eos quidem in punctis β δ, occidere autem in α γ].

Etiamsi non *est*, tamen, si fieri possit, circulus $\alpha\beta$ in alio puncto, *velut* ε, oriatur et in puncto α occidat, et polus circulorum parallelorum sit punctum ζ, et per ζ et polos circuli $\alpha\beta\delta\gamma$ maximus circulus de-

---

PROPOS. 7: Pappus collect. 6 cap. 38 (p. 520—523). Et conf. Eucl. phaen. propos. 3 p. 566, Heiberg. Stud. Eucl. p. 42, denique appendicem ad h. l.

FIGURAM quae supra delineata est et illam alteram quae p. 25 extr. sequitur secundum scriptoris verba nostra coniectura adumbravimus. In codicibus AC et Parisino 2472 ad hanc propositionem primum ea figura adscripta est quae in nostra editione infra sequetur tertio loco (p. 27), tum illa quam ad Graecum scholium $\lambda\zeta$ (p. 28) exhibebimus. In BE prior tantum ex his quas diximus reperitur. Auria p. 18 et 32 praebet figuram ex duabus quae sunt in AC Paris. 2472 concinnatam; ad quam quae litterae adscriptae sunt, eas suo ingenio elegit interpres (conf. append. ad VII propos.).

(κθ) ΗΖΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΘ ΗΖ ΖΕ ΖΒ. ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ ΗΖΘ κύκλον τινα τῶν ἐν τῇ σφαίρᾳ τὸν ΑΒΔΓ διὰ τῶν πόλων τέμνει, δίχα τε αὐτὸν τεμεῖ καὶ πρὸς ὀρθάς· διάμετρος ἄρα ἐστὶν ἡ ΗΘ τοῦ ΑΒΔΓ κύκλου. καὶ ὁ ΗΖΘ κύκλος ὀρθός ἐστι πρὸς τὸν ΑΒΔΓ κύκλον· κύκλου δή τινος τοῦ ΑΒΔΓ ἐπὶ διαμέτρου τῆς ΗΘ τμῆμα κύκλου ὀρθὸν ἐφέστηκεν τὸ ΗΖΘ, καὶ ἡ τοῦ ἐφεστῶτος τμήματος τοῦ ΗΖΘ περιφέρεια εἰς ἄνισα τέτμηται κατὰ τὸ Ζ σημεῖον,
(λ) καὶ ἔστιν ἐλάσσων ἡ ΖΗ περιφέρεια [ἢ ἡμίσεια]· ἡ ΖΗ
(λα) ἄρα εὐθεῖα ἐλαχίστη ἐστὶν πασῶν τῶν ἀπὸ τοῦ Ζ σημείου πρὸς τὸν ΑΒΔΓ κύκλον προσπιπτουσῶν εὐθειῶν· καὶ ἡ ἔγγιον ἄρα τῆς ΖΗ ἐλάσσων ἐστίν· ἐλάσσων ἄρα
(λβ) ἐστὶν ἡ ΖΕ τῆς ΖΒ. ἀλλὰ καὶ ἴση, ὅπερ ἐστὶν ἄτοπον· οὐκ ἄρα ὁ ΑΒ κύκλος δι' ἄλλου τινὸς σημείου ἢ διὰ τοῦ Β τὴν ἀνατολὴν ποιήσεται, διὰ δὲ τοῦ Α τὴν δύσιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ὁ ΓΔ κύκλος διὰ μὲν τοῦ Δ τὴν ἀνατολὴν ποιήσεται, διὰ δὲ τοῦ Γ τὴν δύσιν· ὥστε οἱ ΑΒ ΓΔ κύκλοι αἰεὶ κατὰ τὰ αὐτὰ σημεῖα τοῦ ὁρίζοντος τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιοῦνται.

(κθ) Διὰ τοῦ ιε' τοῦ α' τῶν σφαιρικῶν.
(λ) Ἐὰν πόλῳ τῷ Ζ διαστήματι δὲ τῷ Η κύκλος γραφῇ· ἐφάψεται γάρ. καὶ ὁμοίως τῷ ἄνω δειχθήσεται.
(λα) Διὰ τοῦ α' τοῦ γ' τῶν σφαιρικῶν.
(λβ) Ὡς ἐν τῷ πρὸ τούτου ἐδείχθη.

---

1) Theodos. sphaer. 1, 15 (conf. σχόλιον κθ).

2) Quia ex hypothesi circulus αβδγ obliquus est ad axem, et ex constructione η punctum sectionis circuli αβδγ cum circulo ηζθ propius est polo ζ quam contrarium sectionis punctum θ, punctum igitur η in circumferentia ζηθ positum est inter polum ζ et circulum aequinoctialem, cuius polus est ζ; ergo arcus ζη minor est quadrante circuli, id est minor dimidio semicirculo, id est minor arcu ζθ.

scribatur $\eta\zeta\vartheta$, et iungantur rectae $\eta\vartheta$ $\eta\zeta$ $\zeta\varepsilon$ $\zeta\beta$. Quoniam in sphaera maximus circulus $\eta\zeta\vartheta$ alium in eadem sphaera circulum $\alpha\beta\delta\gamma$ per polos secat, bifariam et ad rectos angulos secabit[1]; ergo $\eta\vartheta$ diametrus est circuli $\alpha\beta\delta\gamma$. Et circulus $\eta\zeta\vartheta$ perpendicularis est ad circulum $\alpha\beta\delta\gamma$; itaque in circuli $\alpha\beta\delta\gamma$ diametro $\eta\vartheta$ perpendiculare insistit segmentum $\eta\zeta\vartheta$, et eius segmenti circumferentia inaequaliter secta est in puncto ζ, et minor arcus est $\zeta\eta$[2]; ergo recta $\zeta\eta$ minima omnium est quae a puncto ζ ad $\alpha\beta\delta\gamma$ circulum deducuntur[3]; itaque etiam minor est quae propior rectae $\zeta\eta$; ergo $\zeta\varepsilon$ minor est quam $\zeta\beta$. Sed eadem etiam aequalis[4], id quod absurdum est; ergo circulus $\alpha\beta$ in nullo alio puncto nisi β orietur, neque in ullo nisi α occidet[5]. Similiter demonstrabimus circulum quoque $\gamma\delta$ in puncto δ oriturum esse et in γ occasurum; ergo circuli $\alpha\beta$ $\gamma\delta$ semper in iisdem horizontis punctis et oriuntur et occidunt.





---

3) Theodos. sphaer. 3, 1 (conf. σχόλιον λα).

4) Quia ex hypothesi punctum ε positum est in circumferentia circuli $\alpha\beta$, cuius polus est ζ. Conf. Theodos. sphaer. 1 def. 5 et supra propos. 6 extremam (p. 21).

5) Omissa est demonstratio similis superiori, qua supponebatur circulum $\alpha\beta$ in puncto quidem β oriri, sed in alio puncto praeter α occidere et cet.

(λγ) *Λέγω δὴ ὅτι καὶ ὁμοίως εἰσὶ κεκλιμένοι πρὸς τὸν ΑΒΔΓ ὁρίζοντα.*

(λδ) *Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΒ ΓΔ ΚΜ ΛΝ. ἐπεὶ ὁ ΗΖΘ κύκλος τοὺς ΑΒ ΓΔ ΑΓΔΒ κύκλους διὰ τῶν πόλων τέμνει, καὶ πρὸς ὀρθὰς αὐτοὺς τεμεῖ· ὁ ΗΖΘ ἄρα κύκλος ὀρθός ἐστι πρὸς ἕκαστον τῶν ΑΒ ΓΔ ΑΒΔΓ κύκλων· ὥστε καὶ ἑκάτερος τῶν ΑΒ ΑΒΔΓ*

(λε) *κύκλων ὀρθός ἐστιν πρὸς τὸν ΗΖΘ· καὶ ἡ κοινὴ ἄρα τομὴ ἡ τῶν ΑΒ ΓΔΒΑ ἡ ΑΒ ὀρθή ἐστιν πρὸς τὸν ΗΖΘ κύκλον· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς ἐν τῷ ΗΖΚΘ ἐπιπέδῳ ὀρθή ἐστιν ἡ ΑΒ. ἅπτεται δὲ τῆς ΑΒ ἑκατέρα τῶν ΗΘ ΚΜ οὖσα ἐν τῷ τοῦ ΗΖΘ κύκλου ἐπιπέδῳ· ἡ ΑΒ ἄρα*

(λς) *πρὸς ἑκατέραν τῶν ΗΘ ΚΜ ὀρθή ἐστιν· ὥστε*

(λγ) *Ἀλλ' ἡ μὲν δεῖξις αὕτη καλῶς ἔχουσα ἐπὶ τοῦδε τοῦ θεωρήματος, φυλαττομένου τοῦ τῆς προτάσεως προδιορισμοῦ τοῦ εἶναι λοξὸν τὸν ὁρίζοντα πρὸς τὸν ἄξονα. ὁμοίως δὲ δειχθήσεται, καὶ εἰ μὴ λοξὸς ᾖ ὁ ὁρίζων πρὸς τὸν ἄξονα, ἀλλὰ δι' αὐτοῦ τοῦ ἄξονος, ὅπερ ἐστὶν ἐπὶ τῆς ὀρθῆς σφαίρας, ἐὰν ἐπὶ τοῦ ὁρίζοντος λάβωμεν τὸν πόλον τῶν παραλλήλων κύκλων τὸ Η τυχὸν σημεῖον, καὶ διὰ τοῦ τοιούτου σημείου, καθὰ καὶ πρότερον, μέγιστον κύκλον γράψωμεν, καὶ τὰ αὐτὰ τοῖς πρότερον κατασκευάσαντες δείξωμεν ἴσην τὴν ἀπὸ τοῦ Η ἐπὶ τὸ Ε τῇ ἀπὸ τοῦ Η ἐπὶ τὸ Β, καὶ τὸ ἄτοπον παραστήσωμεν. τοῦτο δὲ προδέδεικται τοῖς ἐφιστῶσι καὶ ἐν τῷ ς' θεωρήματι τοῦ παρόντος βιβλίου.*

(λδ) *Διὰ τοῦ ιε' τοῦ α' τῶν σφαιρικῶν.*

(λε) *Διὰ τοῦ ιθ' τοῦ ια' Εὐκλείδου.*

(λς) *Διὰ τὸν ὅρον· ἐπιπέδου γὰρ πρὸς ἐπίπεδον κλίσις ἐστὶν ἡ περιεχομένη ὀξεῖα γωνία ὑπὸ τῶν πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ ἀγομένων πρὸς τῷ αὐτῷ σημείῳ ἐν ἑκατέρῳ τῶν ἐπιπέδων. καὶ ἔστιν ἡ μὲν ΚΜ ἐν τῷ αὐτῷ τοῦ ΑΒ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ τῇ ΑΒ, ἡ δὲ ΘΜ ἐν τῷ τοῦ ΑΓΔΒ ἐπιπέδῳ πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ τῇ ΑΒ, καὶ ποιοῦσιν ὀξεῖαν γωνίαν τὴν ὑπὸ ΚΜΘ.*

FIGURA in hanc propositionem tertia delineata est ad similitudinem eius quam codices exhibent (conf. adnot. ad figu-

Iam dico *circulos* $\alpha\beta$ $\gamma\delta$ etiam similiter inclinatos esse ad horizontem $\alpha\beta\delta\gamma$[1]).

Iungantur enim $\alpha\beta$ $\gamma\delta$ $\kappa\mu$ $\lambda\nu$. Quia circulus $\eta\zeta\vartheta$ circulos $\alpha\beta$ $\gamma\delta$ $\alpha\gamma\delta\beta$ per polos secat, eosdem ad rectos angulos secabit[2]); circulus igitur $\eta\zeta\vartheta$ perpendicularis est ad unumquemque circulorum $\alpha\beta$ $\gamma\delta$ $\alpha\beta\delta\gamma$; itaque etiam uterque circulorum $\alpha\beta$ $\alpha\beta\delta\gamma$ ad circulum $\eta\zeta\vartheta$ perpendicularis est[3]); ergo etiam recta $\alpha\beta$, *id est* communis sectio circulorum $\alpha\beta$ $\gamma\delta\beta\alpha$, perpendicularis est ad circulum $\eta\zeta\vartheta$[4]); ergo eadem $\alpha\beta$ ad omnes rectas, quae in plano $\eta\zeta\kappa\vartheta$ ipsam tangunt, perpendicularis est[5]). Tangit autem rectam $\alpha\beta$ utraque rectarum $\eta\vartheta$ $\kappa\mu$, quae sunt in plano circuli $\eta\zeta\vartheta$; ergo $\alpha\beta$ ad utramque $\eta\vartheta$ $\kappa\mu$ perpendicularis est; itaque angu-



ram p. 23); nam si aliam forte rationem, similem prioribus nostris figuris, iniissemus, perspicuitatem et evidentiam singularum linearum vix servavissemus.

1) Conf. σχόλιον λγ et appendicem ad VII. propositionem.

2) Theodos. sphaer. 1, 15 (conf. σχόλιον λδ).

3) Postquam scriptor ostendit circulum $\eta\zeta\vartheta$ ad circulos $\alpha\beta$ $\gamma\delta$ $\alpha\beta\delta\gamma$ perpendicularem esse, nostratibus quidem viris doctis supervacaneum esse videatur hoc praeterea subiungere, vice versa unumquemque circulorum $\alpha\beta$ $\gamma\delta$ $\alpha\beta\delta\gamma$ ad $\eta\zeta\vartheta$ perpendicularem esse. Sed ista in demonstrando verbositas propria fuit vetustissimae dictionis mathematicae, id quod, ut alia taceam, docet similis locus qui infra in demonstratione duodecimi theorematis sequetur. Verum in Graecis delendae erant notae ΓΔ (v. p. 26 adnot. ad v. 7); nam de duobus tantum circulis $\alpha\beta$ $\alpha\beta\delta\gamma$ agi et tenor conclusionis et ipsa forma ἑκάτερος (diversa ab illa quae antecedit ἕκαστος) demonstrabat.

4) Eucl. elem, 11, 19 (conf. σχόλιον λε).

5) Ibid. def. 3.

(λζ) ἡ ὑπὸ τῶν ΚΜΘ γωνία ἡ κλίσις ἐστὶν ἐν ᾗ κέκλιται
(λη) ὁ ΑΒ κύκλος πρὸς τὸν ΑΒΔΓ κύκλον. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ τῶν ΛΝΘ γωνία ἐστὶν ἡ κλίσις ἐν ᾗ κέκλιται ὁ ΓΔ κύκλος πρὸς τὸν ΑΒΔΓ. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΑΒ ΓΔ ὑπό τινος ἐπι-
(λθ) πέδου τοῦ ΖΘ τέμνεται, αἱ κοιναὶ ἄρα αὐτῶν τομαὶ αἱ ΚΜ ΛΝ εὐθεῖαι παράλληλοί εἰσιν· ὥστε ἴση ἐστὶν ἡ ὑπὸ τῶν ΚΜΝ γωνία τῇ ὑπὸ τῶν ΛΝΘ γωνίᾳ. καὶ ἔστιν ἡ μὲν ὑπὸ τῶν ΚΜΘ γωνία ἡ κλίσις ἣν κέκλιται ὁ ΑΒ κύκλος πρὸς τὸν ΑΒΔΓ κύκλον, ἡ δὲ ὑπὸ τῶν ΛΝΘ γωνία ἡ κλίσις ἣν κέκλιται ὁ ΓΔ κύκλος πρὸς τὸν ΑΒΔΓ κύκλον· οἱ ΑΒ ΓΔ ἄρα κύκλοι ὁμοίως εἰσὶ κεκλιμένοι πρὸς τὸν ΑΒΔΓ κύκλον.

η'. Οἱ τῶν αὐτῶν ἐφαπτόμενοι μέγιστοι κύκλοι, ὧν καὶ ὁ ὁρίζων ἅπτεται, στρεφομένης τῆς σφαίρας ἐφαρμόσουσιν ἐπὶ τὸν ὁρίζοντα.

(λζ) Ὅτι δὲ ὀξεῖά ἐστιν ἡ ὑπὸ ΚΜΝ γωνία, δῆλον οὕτως· ἐὰν γράψωμεν τὸν μέγιστον τῶν παραλλήλων τὸν ΞΡΟ, ὡς ὑπόκειται, τεταρτημορίου ἔσται ὁ ΖΡ· ἐκ πόλου γὰρ τοῦ ΞΡΟ· μείζων ἄρα τεταρτημορίου ἡ ΗΡ. καὶ ἔστιν ἡμικυκλίου ἡ ΗΘ· ἐλάσσων ἄρα τεταρτημορίου ἡ ΡΘ· μείζων ἄρα ἡ ΗΡ τῆς ΘΡ. καὶ βέβηκεν ἐπὶ μὲν τῆς ΗΡ περιφερείας ἡ ὑπὸ ΗΣΡ, ἐπὶ δὲ τῆς ΡΘ περιφερείας ἡ ὑπὸ ΡΣΘ, καὶ ἔστι κέντρον τὸ Σ πάντων τῶν μεγίστων κύκλων· μείζων ἄρα ἡ ὑπὸ ΡΣΗ γωνία τῆς ὑπὸ ΡΣΘ. καὶ εἰσὶ δυσὶν ὀρθαῖς ἴσαι· ὀξεῖα ἄρα ἡ ὑπὸ ΡΣΘ· ὥστε καὶ αἱ Μ Ν διὰ τοὺς παραλλήλους· ἴσαι γὰρ αἱ τρεῖς.



(λη) Ὅτε μὲν γὰρ διὰ τοῦ Β ἀνατέλλει, ἡ ΒΖ ἐκ πόλου ἐστίν, ὅτε δὲ διὰ τοῦ Ε, ἡ ΖΕ ἐκ πόλου· ὑπόκειται γὰρ μη ἀεὶ διὰ τοῦ Β, ἀλλὰ καὶ διὰ τοῦ Ε ἀνατέλλειν.

(λθ) Διὰ τοῦ ις' τοῦ ια' Εὐκλείδου.

lus κμϑ inclinatio est, qua circulus αβ ad circulum αβδγ inclinatus est[1]). Iam eadem ratione *demonstratur* angulum λνϑ inclinationem esse, qua circulus γδ ad circulum αβδγ inclinatus est. Et quia duo plana parallela αβ γδ plano aliquo ξϑ secantur, communes igitur eorum sectiones, *id est* rectae κμ λν, parallelae sunt[2]); itaque angulus κμν angulo λνϑ aequalis est. Atqui angulus κμϑ est inclinatio, qua circulus αβ ad circulum αβδγ inclinatus est, et angulus λνϑ inclinatio, qua circulus γδ ad eundem αβδγ inclinatus est; ergo circuli αβ γδ similiter inclinati sunt ad circulum αβδγ.



VIII. Circuli maximi, qui eosdem quos horizon *circulos* tangunt, in conversione sphaerae cum horizonte congruent. Prop. 8

---

1) Eucl. elem. 11 def. 6. Conf. σχόλια λς ac λζ et appendicem ad VII propositionem.

2) Ibid. 11, 16 (conf. σχόλιον λϑ).

PROPOS. 8: Pappus collect. 6 cap. 39 (p. 522). Maurolycus fol. 61ᵛ Graeca verba sic dilatavit: 'Si circulus maior in sphaera fixus apparens ab occulto dirimat inclinatus ad axem: quicunque circulus maior contingit duos circulos parallelos aequales semperque apparentem semperque occultum, quos horizon contingit: evoluta sphaera, congruit horizonti.' Quae sic explicat idem: 'Nam, dum versatur sphaera, puncta contactuum feruntur semper in periferiis dictorum parallelorum: et perinde contactus dicti circuli maioris couniuntur contactibus horizontis: et circulus ipse counitur horizonti.'

Ἔστω ἐν σφαίρᾳ ὁρίζων ὁ ΑΒΓ, μέγιστος δὲ τῶν μὲν αἰεὶ ἀφανῶν ἔστω ὁ ΛΕ, τῶν δὲ αἰεὶ φανερῶν ἔστω ὁ ΑΔ, ὧν ἐφάπτεται ὁ ΑΒΓ ὁρίζων, καὶ γεγράφθω τις μέγιστος κύκλος ἐφαπτόμενος τῶν ΑΔ ΛΕ ὁ ΔΒΕΓ· λέγω ὅτι στρεφομένης τῆς σφαίρας ὁ ΔΒΕΓ κύκλος ἐφαρμόσει ἐπὶ τὸν ΑΒΓ ὁρίζοντα.

Γεγράφθω γάρ τις τῷ ΑΔ παράλληλος κύκλος ὁ
(μ) ΗΖΘ· ἀσύμπτωτον δή ἐστιν τὸ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Γ Ζ Ε μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Η Β Λ μέρη. ἐπεὶ οὖν παράλληλοί εἰσιν κύκλοι οἱ ΑΔ ΖΗΘ, καὶ γεγραμμένοι εἰσὶν κύκλοι μέγιστοι οἱ ΑΒΓ ΔΒΕΓ ἑνὸς μὲν αὐτῶν ἐφαπτόμενοι τοῦ ΑΔ, τὸν δὲ ΗΖΘ τέμνοντες, καὶ εἰσὶν μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων αἱ ΔΚΑ ΖΗ ΛΕ περι-
(μα) φέρειαι, ὁμοία ἄρα ἐστὶν ἡ ΔΚΑ περιφέρεια τῇ ΖΗ
(μβ) καὶ τῇ ΛΕ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Δ τὴν ΔΚΑ περιφέρειαν διελθὸν ἐπὶ τὸ Α παραγίγνεται καὶ τὸ Ζ τὴν ΖΗ διελθὸν ἐπὶ τὸ Η παραγίγνεται καὶ ἔτι τὸ Ε τὴν ΛΕ περιφέρειαν διελθὸν ἐπὶ τὸ Λ παραγίγνεται· ὥστε ἐν τῇ περιφορᾷ τῆς σφαίρας, ὅταν το Δ ἐπὶ τὸ Α παραγένηται, τότε καὶ τὸ Ζ ἐπὶ τὸ Η παρέσται καὶ τὸ Ε ἐπὶ τὸ Λ, καὶ ἐφαρμόσει ἡ ΔΖΕ

(μ) Δυνατὸν γὰρ καὶ ἑτέρους παραλλήλους τῷ ΑΔ γράψαι, ὥστε κατὰ πλείονα σημεῖα συμβάλλειν τοὺς κύκλους.
(μα) Ἀπὸ τοῦ ιγ' τοῦ β' τῶν σφαιρικῶν.
(μβ) Ἀπὸ τοῦ β' τοῦ αὐτοῦ.

FIGURA codicum ABCE, similiter atque illae quae ad propos. 5 et 6 pertinent, in planum redacta quinque circulos ηθ ακδ αηβλγ .δβεγζ (sic) λε partim tangentes inter se, partim secantes, exhibet.

Sit in sphaera horizon *αβγ obliquus ad axem*, maximus autem circulorum *parallelorum* semper latentium sit *λε*, et *maximus* eorum qui semper apparent sit *αδ*, quos quidem horizon *αβγ* tangit, et describatur maximus aliquis circulus *δβεγ*, qui circulos *αδ λε* tangat; dico fore ut in conversione sphaerae circulus *δβεγ* cum horizonte *αβγ* congruat.



Describatur enim circulus aliquis *ηζϑ* parallelus circulo *αδ*; ergo semicirculus a puncto *δ* ad partes *γ ζ ε pertinens* non concurrit cum semicirculo qui ab *α* ad partes *η β λ pertinet.* Iam quia circuli *αδ ζηϑ* paralleli sunt, et descripti sunt maximi circuli *αβγ δβεγ*, unum quidem *αδ* tangentes, alterum autem *ηζϑ* secantes, et inter semicirculos non concurrentes sunt arcus *δκα ζη λε*, similis igitur est arcus *δκα* arcui *ζη* et arcui *λε*[1]); aequali igitur tempore punctum *δ*, cum arcum *δκα* percucurrit, ad *α* pervenit ac *ζ*, cum arcum *ζη* percucurrit, ad *η* pervenit ac denique *ε*, cum arcum *ελ* percucurrit, ad *λ* pervenit[2]). Itaque in conversione sphaerae, cum *δ* ad *α* pervenerit, tum etiam *ζ* ad *η* et *ε* ad *λ* accesserit, et arcus *δζε* con-

1) Theodos. sphaer. 2, 13 (conf. *σχόλιον μα*).
2) Autol. propos. 2 huius (conf. *σχόλιον μβ*).

περιφέρεια ἐπὶ τὴν ΑΗΛ· ὥστε καὶ ὅλος ὁ ΔΒΕΓ κύκλος ἐφ' ὅλον τὸν ΑΒΓ κύκλον ἐφαρμόσει· εἰ γὰρ οὐκ ἐφαρμόσει, δύο κύκλοι τεμοῦσιν ἀλλήλους κατὰ
(μγ) πλείονα σημεῖα, ὅπερ ἐστὶν ἄτοπον· στρεφομένης ἄρα τῆς σφαίρας ἐφαρμόσει ὁ ΔΒΕ κύκλος ἐπὶ τὸν ΑΒΓ κύκλον.

θ'. Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, τῶν ἅμα ἀνατελλόντων σημείων τὰ πρὸς τῷ φανερῷ πόλῳ ὕστερον δύνει, τῶν δὲ ἅμα δυνόντων τὰ πρὸς τῷ φανερῷ πόλῳ πρότερον ἀνατέλλει.



Ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, καὶ εἰλήφθω δύο σημεῖα τὰ Γ Ε ὁμόσε ἀνατέλλοντα, καὶ ἔστω ἔγγιον τοῦ φανεροῦ πόλου τὸ Γ ἤπερ τὸ Ε· λέγω ὅτι τὰ Γ Ε σημεῖα οὐχ ὁμόσε δύσεται, ἀλλ' ὕστερον δύσεται τὸ Γ τοῦ Ε.

Ἔστωσαν γὰρ παράλληλοι κύκλοι καθ' ὧν φέρεται τὰ Γ Ε σημεῖα οἱ ΓΖΘ ΕΗΚ. ἐπεὶ ὁ ΑΒΓ ὁρίζων λοξός ἐστιν πρὸς τὸν ἄξονα, καὶ πρὸς τοὺς παραλλήλους

(μγ) Ἐν τῷ ι' τῶν κυκλικῶν.

FIGURA codicum ABCE, in planum redacta, exhibet circulos θζλγ ηεκ circa centrum α descriptos et circulum αηβε (sic) hos quos dixi secantem. Littera δ abest.

gruet cum arcu $\alpha\eta\lambda$; itaque etiam totus circulus $\delta\beta\varepsilon\gamma$ cum toto $\alpha\beta\gamma$ congruet; nam si non congruet, duo se invicem circuli secabunt in pluribus quam duobus punctis, id quod absurdum est[1]); ergo in conversione sphaerae circulus $\delta\beta\varepsilon$ cum circulo $\alpha\beta\gamma$ congruet.

IX. Si in sphaera maximus circulus, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam, punctorum simul orientium ea quae sunt propiora conspicuo polo posterius occidunt, punctorum autem simul occidentium ea quae sunt propiora conspicuo polo prius oriuntur. Prop. 9

In sphaera enim maximus circulus $\alpha\beta\gamma$, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam, et sumantur duo puncta γ ε simul orientia, et sit γ propius conspicuo polo quam ε; dico puncta γ ε non simul occasura esse, sed posterius occasurum γ quam ε.

Sint enim circuli paralleli, per quos puncta γ ε feruntur, $\gamma\zeta\vartheta$ $\varepsilon\eta\kappa$. Quoniam horizon $\alpha\beta\gamma$ obliquus

---

1) Sive Autolycus ipse sive alius quispiam hanc demonstrationem apagogicam addidit, verborum sententia haec esse videtur: 'Si duorum circulorum circumferentiae duo puncta communia habent, circuli aut se secant aut congruunt; at si tria puncta communia habent, iam fieri non potest, ut se secent (nam sic se secarent in pluribus quam duobus punctis, quod absurdum est propter Eucl. elem. 3, 10); ergo unum relinquitur, ut congruant.' Euclidis elementorum libri tertii (*τῶν κυκλικῶν*) propositio decima citatur scholio Graeco $\mu\gamma$.

PROPOS. 9: Pappus collect. 6 cap. 40 (p. 522). Ad eandem Maurolycus fol. 61^{v} adnotat: 'Nam punctum polo manifesto vicinius habet, per 24^{m} [*lege* 20^{m}] secundi Theodosii, maiorem arcum super horizontem: et perinde si simul oritur, cum puncto remotiori a dicto polo: posterius occidet. Et si simul occidat, iam prius exortum est per 2^{m} huius.'

(μδ) λοξός ἐστιν· ἡ ΓΖ ἄρα περιφέρεια τῆς ΕΗ περιφερείας μείζων ἐστὶν ἢ ὁμοία. ἔστω τῇ ΕΗ ὁμοία ἡ (με) ΓΛ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Γ ἐπὶ τὸ Λ παραγίγνεται καὶ τὸ Ε ἐπὶ τὸ Η. ἀλλ' ὅταν μὲν τὸ Ε ἐπὶ τὸ Η παραγένηται, δύνει τὸ Ε, ὅταν δὲ τὸ Γ ἐπὶ τὸ Λ παραγένηται, οὐδέπω δύνει τὸ Γ, ἀλλ' ἔτι ὑπὲρ γῆν ἐστιν· πρότερον ἄρα δύνει τὸ Ε τοῦ Γ· ὥστε ὕστερον δύνει τὸ Γ τοῦ Ε.



Πάλιν δὲ δυνέτω τὰ Ζ Η ἄστρα ὁμόσε· λέγω ὅτι οὐχ ἅμα ἀνατέλλει, ἀλλὰ πρότερον τὸ Ζ τοῦ Η.

Ἐπεὶ γὰρ ἡ ΓΖ περιφέρεια τῆς ΕΗ περιφερείας (με) μείζων ἐστὶν ἢ ὁμοία, λοιπὴ ἄρα ἡ ΖΘΓ λοιπῆς τῆς ΗΚΕ ἐλάσσων ἐστὶν ἢ ὁμοία. ἔστω ἡ ΖΘΓ ὁμοία τῇ ΗΚ. ἐπεὶ ὁμοία ἐστὶν ἡ ΖΘΓ περιφέρεια τῇ ΗΚ περιφερείᾳ, στρεφομένης ἄρα τῆς σφαίρας ἅμα τὸ Ζ ἐπὶ τὸ Γ παραγίγνεται καὶ τὸ Η ἐπὶ τὸ Κ. πρότερον δὲ τὸ Η ἐπὶ τὸ Κ παραγίγνεται ἤπερ ἐπὶ τὸ Ε· πρότερον ἄρα καὶ τὸ Ζ ἐπὶ τὸ Γ παραγίγνεται ἤπερ τὸ Η ἐπὶ τὸ Ε. ἀλλ' ὅταν μὲν τὸ Ζ ἐπὶ τὸ Γ παραγένηται, ἀνατέλλει τὸ Ζ, ὅταν δὲ τὸ Η ἐπὶ τὸ Ε παραγένηται, ἀνατέλλει τὸ Η· πρότερον ἄρα ἀνατέλλει τὸ Ζ τοῦ Η.

(μδ) Διὰ τοῦ κ' τοῦ β' τῶν σφαιρικῶν.
(με) Ἀπὸ τοῦ β' τούτου τοῦ βιβλίου.
(μς) Ἐπειδὴ πᾶς κύκλος παντὶ ὁμοιός ἐστιν τῷ τὰς δ'

est ad axem, idem etiam ad parallelos obliquus est[1]); ergo arcus $\gamma\zeta$ maior est quam similis arcui $\varepsilon\eta$[2]). Sit arcui $\varepsilon\eta$ similis $\gamma\lambda$; aequali igitur tempore punctum γ ad λ ac punctum ε ad η pervenit[3]). At punctum ε, cum ad η accessit, occidit, punctum autem γ, cum ad λ accessit, nondum occidit, sed etiam super horizontem est; prius igitur occidit ε quam γ; itaque γ posterius occidit quam ε.

Rursus autem puncta ζ η simul occidant; dico ea non simul, sed prius ζ quam η oriri.

Nam quia arcus $\gamma\zeta$ maior est quam similis arcui $\varepsilon\eta$, reliquus igitur $\zeta\vartheta\gamma$ minor est quam similis reliquo $\eta\varkappa\varepsilon$[4]). Sit arcus $\zeta\vartheta\gamma$ similis ipsi $\eta\varkappa$. Quoniam arcus $\zeta\vartheta\gamma$ ipsi $\eta\varkappa$ similis est, in conversione igitur sphaerae punctum ζ simul ad γ atque η ad $\varkappa$ pervenit. Prius autem punctum η ad $\varkappa$ quam ad ε pervenit; ergo etiam punctum ζ prius ad γ, quam η ad ε, pervenit. Sed punctum ζ, cum ad γ accessit, oritur, punctum autem η, cum ad ε accessit, oritur; ergo ζ prius oritur quam η.

---

1) Autol. propos. 7 huius.
2) Theodos. sphaer. 2, 20 (conf. σχόλιον μδ).
3) Autol. propos. 2 huius (conf. σχόλιον με).
4) Quoniam omnis circulus omni circulo similis est: quattuor namque anguli, qui sunt in centro, in omnibus circulis insistunt recti. SCHOLIUM apud Auriam p. 32 (expressum e Graeco μς).

γωνίας τὰς πρὸς τῷ κέντρῳ τὰς ὀρθὰς ἐπὶ ὅλων τῶν κύκλων βεβηκέναι.

ι'. Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, ὁ διὰ τῶν πόλων τῆς σφαίρας κύκλος ἐν μιᾷ περιφορᾷ τῆς σφαίρας δὶς ἔσται ὀρθὸς πρὸς τὸν ὁρίζοντα.



Ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανὲς λοξὸς ὢν
(μζ) πρὸς τὸν ἄξονα, καὶ ἔστω μέγιστος τῶν αἰεὶ φανερῶν ὁ ΑΖΕ κύκλος, ὁ δὲ φανερὸς πόλος τῆς σφαίρας ἔστω ὁ Δ, ὁ δὲ διὰ τῶν πόλων τῆς σφαίρας κύκλος ἔστω ὁ ΒΔΓ· λέγω ὅτι ἐν μιᾷ περιφορᾷ τῆς σφαίρας ὁ ΒΔΓ κύκλος δὶς ἔσται ὀρθὸς πρὸς τὸν ΑΒΓ ὁρίζοντα.

Γεγράφθω γὰρ διὰ τῶν Α Δ σημείων μέγιστος
(μη) κύκλος ὁ ΑΔΘ· ἥξει δὴ καὶ διὰ τῶν τοῦ ΑΒΓ πόλων καὶ ἔσται ὀρθὸς πρὸς αὐτόν. καὶ ἐπεὶ ἑκάτερος τῶν

(μζ) Τουτέστιν οὗ ἐφάπτεται ὁ ΑΒΓ κύκλος· φανερὸν γὰρ καὶ ἀπὸ τοῦ ς' ὅτι ἐφάπτεται.

(μη) Ἀπὸ τοῦ ε' τοῦ β' τῶν σφαιρικῶν.

X. Si in sphaera maximus circulus, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam, circulus per sphaerae polos *ductus* in una conversione sphaerae bis ad horizontem perpendicularis erit. Prop. 10

In sphaera enim maximus circulus $\alpha\beta\gamma$ distinguat conspicuam sphaerae *partem* et occultam, obliquus ad axem, et maximus circulorum semper apparentium sit $\alpha\zeta\varepsilon\eta$, perspicuus autem sphaerae polus sit punctum δ, circulus autem per polos sphaerae *ductus* sit $\beta\delta\gamma$; dico in una conversione sphaerae circulum $\beta\delta\gamma$ bis ad horizontem $\alpha\beta\gamma$ perpendicularem futurum esse.

Describatur enim per puncta α δ maximus circulus $\alpha\delta\vartheta$[1]); transibit igitur etiam per polos circuli $\alpha\beta\gamma$[2]) eritque ad eum perpendicularis[3]). Et quia uterque

---

FIGURA codicum ABCE exhibet maiorem circulum $\alpha\beta\vartheta\gamma$ et minorem $\alpha\zeta\varepsilon\eta$ inter se intus tangentes. Praeterea descriptae sunt circumferentiae $\beta\zeta\delta\eta\gamma$ (sic) et $\alpha\delta\varepsilon\vartheta$.

PROPOS. 10: Pappus collect. 6 cap. 41 (p. 522). Ad eandem Maurolycus fol. 61^{v} adnotat: 'Patet, quoniam talis circulus bis transit in uno ambitu per polos horizontis: quare per 20^{m} [*lege* 15^{m}] primi sphaericorum Theodosii bis eum orthogonaliter secabit.' Praeterea scholio apud Auriam p. 32 comparatur positio circuli meridiani, cum quo omnis circulus per polos ductus bis in die congruat, et citatur prima pars secundae propositionis Euclidis phaenomenon, qua in propositione Euclidem hoc decimo Autolyci theoremate usum esse demonstrat Heiberg. Stud. Eucl. p. 40.

1) Theodos. sphaer. 1, 20.
2) Ibid. 2, 5 (conf. *σχόλιον μη*).
3) Ibid. 1, 15.

(μθ) ΖΔΗ ΑΔΕ τὸν ΑΖΗ κύκλον διὰ τῶν πόλων τέμνει, ἴση ἄρα ἐστὶν ἡ ΖΑ περιφέρεια τῇ ΕΗ περιφερείᾳ·
(ν) ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Ζ σημεῖον τὴν ΖΑ περιφέρειαν διελεύσεται καὶ τὸ Η τὴν ΗΕ· στρεφομένης ἄρα τῆς σφαίρας, ὅταν τὸ Ζ τὴν ΖΑ περιφέρειαν διελθὸν ἐπὶ τὸ Α παραγένηται, καὶ τὸ Η τὴν ΗΕ διελθὸν ἐπὶ τὸ Ε παραγένηται, ἡ ΖΔΗ περιφέρεια ἐφαρμόσει ἐπὶ
(να) τὴν ΑΔΕ περιφέρειαν· ὥστε καὶ ὅλος ὁ ΒΔΓ κύκλος
(νβ) ἐφ' ὅλον τὸν ΑΔΘ κύκλον ἐφαρμόσει. ἀλλ' ὁ ΑΔΘ κύκλος ὀρθός ἐστιν πρὸς τὸν ΑΒΓ κύκλον· καὶ ὁ ΒΔΓ ἄρα κύκλος ὀρθός ἐστιν πρὸς τὸν ΑΒΓ κύκλον. πάλιν δὴ στρεφομένης τῆς σφαίρας, ὅταν τὸ Η σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Ε σημείου τὴν ΕΖΑ περιφέρειαν διελθὸν ἐπὶ τὸ Α παραγένηται, τότε καὶ τὸ Ζ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Α σημείου τὴν ΑΗΕ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ε παρέσται, καὶ ἐφαρμόσει ἡ ΖΔΗ περιφέρεια ἐπὶ τὴν ΑΔΕ περιφέρειαν· ὥστε καὶ ὅλος ὁ ΒΔΓ κύκλος ἐφ' ὅλον τὸν ΑΔΘ κύκλον ἐφαρ-

---

(μθ) Ἀπὸ τοῦ γ' τοῦ γ' τῶν σφαιρικῶν.
(ν) Διὰ τοῦ β' τούτου.
(να) Διὰ τοῦ η' τούτου.
(νβ) Ὡς ἐδείχθη διὰ τοῦ ε' τοῦ β' τῶν σφαιρικῶν.

---

1) Hoc loco circulum αδε eundem quem antea αδθ scriptor appellat, quoniam de sectione circuli αηεξ agitur. Similiter circulus ξδη nunc dicitur qui antea βδγ notatus est.

2) Scilicet propter Theodos. sphaer. 1, 15 utraque circumferentiarum ζη αε semicirculus est. Et sunt eiusdem circuli; itaque etiam inter se aequales; subtracto igitur communi arcu αη restat ζα = ηε. Similiter demonstrabitur esse αε = εα, et εξ = αη. Scholiasta Graecus (μθ), nescio qua ratione ductus, Theodosii sphaer. 3, 3 citat.

circulorum $\zeta\delta\eta$ $\alpha\delta\varepsilon$[1]) circulum $\alpha\zeta\eta$ per polos secat, arcus igitur $\zeta\alpha$ arcui $\varepsilon\eta$ aequalis est[2]); aequali igitur tempore punctum ζ arcum $\zeta\alpha$ ac punctum η arcum $\eta\varepsilon$ percurret[3]); ergo in conversione sphaerae, cum ζ, postquam arcum $\zeta\alpha$ percucurrit, ad α, et punctum η, postquam arcum $\eta\varepsilon$ percucurrit, ad ε pervenerit, arcus $\zeta\delta\eta$



cum arcu $\alpha\delta\varepsilon$ congruet; itaque etiam totus circulus $\beta\delta\gamma$ cum toto circulo $\alpha\delta\vartheta$ congruet. Sed circulus $\alpha\delta\vartheta$ ad circulum $\alpha\beta\gamma$ perpendicularis est; ergo etiam circulus $\beta\delta\gamma$ ad circulum $\alpha\beta\gamma$ perpendicularis erit. Iam rursus in conversione sphaerae, cum punctum η, postquam a puncto ε exiit et arcum $\varepsilon\zeta\alpha$ percucurrit, ad α pervenerit, tum item punctum ζ, postquam a puncto α exiit et arcum $\alpha\eta\varepsilon$ percucurrit, ad ε perveniet, et arcus $\zeta\delta\eta$ congruet cum arcu $\alpha\delta\varepsilon$; itaque etiam totus circulus $\beta\delta\gamma$ cum toto circulo $\alpha\delta\vartheta$ congruet. Sed

3) Autol. propos. 2 huius (conf. σχόλιον ν).

μόσει. ὁ δὲ ΑΔΘ κύκλος ὀρθός ἐστιν πρὸς τὸν ΑΒΓ κύκλον· καὶ ὁ ΒΔΓ ἄρα κύκλος ὀρθός ἐστιν πρὸς τὸν ΑΒΓ κύκλον. πάλιν δὴ ὅταν τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ΑΗ διελθὸν ἐπὶ τὸ Η παραγένηται, καὶ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Ε ἐπὶ τὸ Ζ παρέσται, καὶ ὁ ΒΔΓΘ κύκλος θέσιν ἕξει ἣν εἶχεν ἐξ ἀρχῆς· ὥστε οὐκ ὀρθὸς πρὸς τὸν ὁρίζοντα πλέον ἢ δὶς ἔσται· ἐν μιᾷ ἄρα περιφορᾷ τῆς σφαίρας ὁ διὰ τῶν πόλων τῆς σφαίρας κύκλος δὶς ἔσται ὀρθὸς πρὸς τὸν ὁρίζοντα.

ια΄. Ἐὰν ἐν σφαίρᾳ μέγιστος κύκλος λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁρίζῃ τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ
(νγ) ἀφανές, ἄλλος δέ τις λοξὸς μέγιστος κύκλος μειζόνων ἅπτηται ἢ ὧν ὁ ὁρίζων ἅπτεται, κατὰ πᾶσαν τὴν τοῦ ὁρίζοντος περιφέρειαν τὴν μεταξὺ τῶν παραλλήλων κύκλων ὧν ἐφάπτεται τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιεῖται.



Ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΑΒΓ λοξὸς ὢν πρὸς τὸν ἄξονα ὁριζέτω τό τε φανερὸν τῆς σφαίρας καὶ τὸ ἀφανές, καὶ ἐφαπτέσθω τινὸς κύκλου τῶν ἐν τῇ σφαίρᾳ τοῦ ΑΔ, ἄλλος δέ τις λοξὸς μέγιστος κύκλος ὁ ΓΖ μειζόνων ἁπτέσθω τῶν ΖΒ ΓΗ ἢ ὧν ὁ ΑΒΓ κύκλος ἐφάπτεται, καὶ ἔστω ἀνατολικὰ μὲν μέρη τὰ Ζ Η

(νγ) Ὡς ὁ ζῳδιακός.

circulus $\alpha\delta\vartheta$ ad circulum $\alpha\beta\gamma$ perpendicularis est; ergo etiam circulus $\beta\delta\gamma$ ad circulum $\alpha\beta\gamma$ perpendicularis erit. Iam rursus, cum punctum η, postquam ab α exiit et arcum $\alpha\eta$ percucurrit, ad η pervenerit, tum item punctum ζ, postquam ab ε exiit, ad ζ perveniet, et circulus $\beta\delta\gamma\vartheta$ eandem, quam ab initio, positionem habebit; itaque non saepius quam bis perpendicularis erit ad horizontem; ergo in una conversione sphaerae circulus per polos sphaerae *ductus* bis ad horizontem perpendicularis erit.

XI. Si in sphaera maximus circulus, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam, et alter maximus circulus obliquus maiores *circulos parallelos* quam quos horizon tangat, *alter ille quem diximus* per totam horizontis circumferentiam, quae est inter eos quos tangit circulos parallelos, et oritur et occidit. Prop. 11

In sphaera enim maximus circulus $\alpha\beta\gamma$, obliquus ad axem, distinguat conspicuam sphaerae *partem* et occultam, et tangat circulum aliquem $\alpha\delta$ eorum qui sunt in sphaera, alius autem maximus circulus obliquus $\gamma\zeta$ maiores *circulos parallelos* tangat $\zeta\beta$ $\gamma\eta$ quam quos circulus $\alpha\beta\gamma$ tangit, et sint partes orientales ζ η, occi-

PROPOS. 11: Pappus collect. 6 cap. 42 (p. 522. 523). Utitur hac propositione Eucl. phaen. 7 p. 570 (conf. Heiberg. Stud. Eucl. p. 42). Ad eandem Maurolycus fol. 62^{r} adnotat: 'Patet, quoniam omnia puncta talibus parallelis interiecta oriuntur et occidunt apud periferias horizontis iisdem interiacentes. Quare et tota talis circuli maioris periferia ididem facit.'

FIGURAM descripsimus ad similitudinem eius quae in codicibus ABCE adumbrata est. Punctum in centro circuli $\alpha\delta$, a nobis additum, polum sphaerae ideoque obliquam ad axem positionem circuli $\alpha\beta\gamma$ significat. Auria arbitrio suo longe diversas et lineas et litteras posuit.

δυτικὰ δὲ τὰ Β Γ· λέγω ὅτι ὁ ΖΓ κύκλος αἰεὶ διὰ μὲν τῆς ΖΗ περιφερείας ἀνατελεῖ, διὰ δὲ τῆς ΒΓ δύσεται.

Εἰλήφθω γάρ τινα σημεῖα ἐπὶ τῆς ΖΓ περιφερείας τυχόντα τὰ Θ Κ, καὶ ἔστωσαν παράλληλοι κύκλοι καθ' ὧν φέρεται τὰ Θ Κ σημεῖα οἱ ΛΘΜ ΝΚΞ. ἐπεὶ τὸ Ζ σημεῖον αἰεὶ διὰ μὲν τοῦ Ζ ἀνατέλλει διὰ δὲ τοῦ Β δύνει, τὸ δὲ Θ αἰεὶ διὰ μὲν τοῦ Μ ἀνατέλλει διὰ δὲ τοῦ Λ δύνει, ἡ ΖΘ ἄρα περιφέρεια αἰεὶ διὰ μὲν τῆς ΖΜ ἀνατέλλει διὰ δὲ τῆς ΒΛ δύνει· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΚ περιφέρεια διὰ μὲν τῆς ΜΞ ἀνατέλλει διὰ δὲ τῆς ΛΝ δύνει, ἡ δὲ ΚΓ διὰ μὲν τῆς ΞΗ ἀνατέλλει διὰ δὲ τῆς ΝΓ δύνει· ὅλον ἄρα τὸ ΖΓ ἡμικύκλιον αἰεὶ διὰ μὲν τῆς ΖΗ περιφερείας ἀνατέλλει διὰ δὲ τῆς ΒΓ δύνει. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τὸ ἕτερον ἡμικύκλιον· ὥστε ὅλος ὁ ΖΓ κύκλος αἰεὶ κατὰ πᾶσαν τὴν τοῦ ὁρίζοντος περιφέρειαν τὴν μεταξὺ τῶν παραλλήλων κύκλων τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ποιεῖται.

(νδ)



ιβ'. Ἐὰν ἐν σφαίρᾳ μένων κύκλος φερόμενόν τινα κύκλον τῶν ἐν τῇ σφαίρᾳ αἰεὶ δίχα τέμνῃ, μηδέτερος δὲ αὐτῶν μήτε πρὸς ὀρθὰς ᾖ τῷ ἄξονι μήτε διὰ τῶν πόλων τῆς σφαίρας, ἑκάτερος αὐτῶν μέγιστος ἔσται.

(νδ) Διὰ τοῦ ζ' τούτου.

dentales autem $\beta\ \gamma$; dico circulum $\zeta\gamma$ semper per arcum $\zeta\eta$ oriturum et per $\beta\gamma$ occasurum esse.

Sumantur enim in circumferentia $\zeta\gamma$[1]) quaelibet puncta $\vartheta\ \varkappa$, et circuli paralleli, per quos puncta $\vartheta\ \varkappa$ feruntur, sint $\lambda\vartheta\mu\ \nu\varkappa\xi$. Quia punctum ζ semper in ζ oritur et in β occidit[2]), et punctum ϑ semper in μ oritur inque λ occidit, arcus igitur $\zeta\vartheta$ semper per arcum $\zeta\mu$ oritur et per $\beta\lambda$ occidit; atque eadem ratione etiam arcus $\vartheta\varkappa$ semper per $\mu\xi$ oritur et per $\lambda\nu$ occidit, et arcus $\varkappa\gamma$ per $\xi\eta$ oritur et per $\nu\gamma$ occidit; ergo totus semicirculus $\zeta\gamma$ semper per arcum $\zeta\eta$ oritur et per $\beta\gamma$ occidit. Ac similiter demonstrabimus alterum quoque semicirculum *per eosdem arcus semper oriri et occidere*; itaque totus circulus $\zeta\gamma$ per totam horizontis circumferentiam, quae est inter parallelos circulos, et oritur et occidit.

XII. Si in sphaera circulus manens circulum quendam qui in sphaera fertur semper bifariam secet, neuter autem eorum neque perpendicularis ad axem neque per polos sphaerae *ductus* sit, uterque maximus erit. Prop. 12

1) Ex verbis quae sub finem huius demonstrationis sequuntur cognoscimus *τὴν* ZΓ *περιφέρειαν* hoc loco a scriptore intellegi semicirculum $\zeta\gamma$, qui est in conspicuo hemisphaerio.

2) Autol. propos. 7 huius (conf. *σχόλιον νδ*).

PROPOS. 12: Pappus collect. 6 cap. 43 (p. 524). Utitur hac propositione Eucl. phaen. p. 562, 29 (conf. Heiberg. Stud. Eucl. p. 42). Ad eandem Maurolycus adnotat: 'Nam si uterque sit circulus minor: manens non potest semper bifariam secare delatum, nisi manens ad rectos sit axi. Si manens sit maior, ac delatus minor: non potest semper bifariam secare delatum, nisi existentem ad rectos axi quod est contra hypothesim. Si manens sit minor, ac delatus maior: hoc esset contra 17^{m} [*lege* 12^{m}] primi sphaericorum Theodosii. Superest ergo ut omnino sint ambo maiores.' Qualis in hac propositione *μένων κύκλος* intellegatur, explicat Th. H. Martin, *Revue critique*, 1877, premier semestre, p. 414 (conf. indicem nostrum s v.).

Ἔστω ἐν σφαίρᾳ μένων κύκλος ὁ ΑΒΓ, φερόμενον δέ τινα τῶν ἐν τῇ σφαίρᾳ κύκλων τὸν ΓΔΒ αἰεὶ δίχα τεμνέτω, μηδέτερος δὲ αὐτῶν μήτε πρὸς ὀρθὰς ἔστω τῷ ἄξονι μήτε διὰ τῶν πόλων τῆς σφαίρας· λέγω ὅτι ἑκάτερος τῶν ΑΓΒ ΓΔΒ κύκλων μέγιστός ἐστιν.



Ἔστω γὰρ αὐτῶν κοινὴ τομὴ ἡ ΒΓ· ἡ ΒΓ ἄρα διάμετρός ἐστι τοῦ ΓΔΒ κύκλου. τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε σημεῖον· τὸ Ε ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΒ κύκλου. καὶ φανερὸν ὅτι τὸ Ε σημεῖον αἰεί ἐστιν ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ καὶ κατὰ πᾶσαν περιφορὰν τῆς σφαίρας· λέγω δὴ ὅτι τὸ Ε σημεῖον ἐπὶ τοῦ ἄξονός ἐστιν.

(νε) Εἰ γὰρ μὴ ἔστιν ἐπὶ τοῦ ἄξονος, στρεφομένης ἄρα τῆς σφαίρας τὸ Ε σημεῖον γράψει κύκλον πρὸς ὀρθὰς τῷ ἄξονι. γραφέτω τὸν ΕΖΗ. ἐπεὶ τὸ Ε σημεῖον αἰεὶ ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ ἐστὶν καὶ φέρεται κατὰ κύκλου τοῦ ΕΖΗ, ὁ ΕΖΗ ἄρα κύκλος αἰεί ἐστιν ἐν τῷ τοῦ ΑΒΓ κύκλου ἐπιπέδῳ. καὶ ἔστιν ὁ ΕΖΗ κύκλος ὀρθὸς πρὸς τὸν ἄξονα· καὶ ὁ ΑΒΓ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ἄξονα, ὅπερ οὐχ ὑπόκειται· οὐκ ἄρα τὸ Ε σημεῖον οὐκ ἔστιν ἐπὶ τοῦ ἄξονος· ἐπὶ τοῦ ἄξονος ἄρα ἐστίν.

Λέγω δὴ ὅτι κέντρον ἐστὶ τῆς σφαίρας τὸ Ε σημεῖον.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω κέντρον τῆς σφαίρας

(νε) Διὰ τοῦ α' τοῦ περὶ κινουμένης σφαίρας.

Sit in sphaera circulus manens $\alpha\beta\gamma$, qui circulum quendam $\gamma\delta\beta$ qui in sphaera fertur semper bifariam secet, neuter autem eorum neque perpendicularis ad axem sit neque per polos sphaerae *ductus*; dico utrumque circulorum $\alpha\gamma\beta$ $\gamma\delta\beta$ maximum esse.

Sit enim communis eorum sectio recta $\beta\gamma$; haec igitur circuli $\gamma\delta\beta$ diametrus est[1]). Bifariam secetur $\beta\gamma$ in puncto ε; hoc igitur centrum est circuli $\gamma\delta\beta$[2]). Atque apparet punctum ε semper et per omnem sphaerae conversionem esse in circuli $\alpha\beta\gamma$ plano[3]); iam dico punctum ε in axe *positum* esse.

Etenim si non est in axe punctum ε, id in conversione sphaerae circulum describet perpendicularem ad axem[4]). Describat circulum $\varepsilon\zeta\eta$. Quia punctum ε semper in circuli $\alpha\beta\gamma$ plano est et per circulum $\varepsilon\zeta\eta$ fertur, circulus igitur $\varepsilon\zeta\eta$ semper est in circuli $\alpha\beta\gamma$ plano. Atqui circulus $\varepsilon\zeta\eta$ perpendicularis est ad axem[5]); ergo circulus quoque $\alpha\beta\gamma$ perpendicularis est ad axem, id quod contra hypothesim est; ergo fieri non potest, ut punctum ε non in axe sit, itaque est in axe.

Iam dico punctum ε centrum sphaerae esse.

Etiamsi non *est*, tamen, si fieri possit, centrum

FIGURA similis exstat in codicibus ABCE; a nobis addita est sphaerae et polorum significatio.

1) Ex hypothesi (bifariam enim circuli se secant) et propter Eucl. elem. 1 def. 17. 18. Similis est demonstratio apud Theodos. sphaer. 1, 12.

2) Apagogica ratione scriptor hoc effecisse videtur ex iis definitionibus quae nunc apud Euclidem primo elementorum libro leguntur 15. 6. 7.

3) Ex hypothesi.

4) Autol. propos. 1 huius (conf. *σχόλιον νε*).

5) Ibidem.

τὸ Θ σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΘΕ· ἄξων ἄρα ἐστὶ τῆς σφαίρας ἡ ΘΕ εὐθεῖα (ἑκάτερον γὰρ τῶν Θ Ε σημείων ἐπὶ τοῦ ἄξονός ἐστιν). καὶ ἐπεὶ ἐν σφαίρᾳ κύκλος ἐστὶν ὁ ΓΔΒ, ἀπὸ δὲ τοῦ κέντρου τῆς σφαίρας τοῦ Θ ἐπὶ τὸ κέντρον τοῦ ΓΔΒ κύκλου ἐπέζευκται εὐθεῖα ἡ ΘΕ,



(νς) ἡ ΘΕ ἄρα ὀρθή ἐστι πρὸς τὸν ΓΔΒ κύκλον· ὥστε καὶ ὁ ΓΔΒ κύκλος ὀρθός ἐστι πρὸς τὴν ΘΕ. καὶ ἔστιν ἡ ΘΕ ἄξων· ὁ ΓΔΒ ἄρα κύκλος ὀρθός ἐστιν πρὸς τὸν ἄξονα, ὅπερ οὐχ ὑπόκειται· οὐκ ἄρα τὸ Θ σημεῖον κέντρον ἐστὶ τῆς σφαίρας. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλο τι πλὴν τοῦ Ε· τὸ Ε ἄρα σημεῖον κέντρον ἐστὶ τῆς σφαίρας.

Καὶ ἔστιν ἐν ἑκατέρῳ τῶν ΑΒΓ ΓΔΒ κύκλων·
(νζ) μέγιστος ἄρα ἐστὶν ἑκάτερος τῶν ΑΒΓ ΓΔΒ κύκλων.

(νς) Διὰ τοῦ ζ' τοῦ α' τῶν σφαιρικῶν.
(νζ) Ὡς διὰ τοῦ κέντρου, διὰ τὸ ς' τοῦ α' τῶν σφαιρικῶν.

sphaerae sit punctum ϑ, et iungatur recta $\vartheta\varepsilon$; haec igitur axis sphaerae est (nam utrumque punctorum ϑ ε est in axe). Et quia in sphaera est circulus $\gamma\delta\beta$, et a sphaerae centro ϑ ad centrum circuli $\gamma\delta\beta$ iuncta est recta $\vartheta\varepsilon$, haec igitur ad circulum $\gamma\delta\beta$ perpendicularis est[1]); ergo circulus quoque $\gamma\delta\beta$ ad rectam $\vartheta\varepsilon$ perpendicularis est[2]). Atqui $\vartheta\varepsilon$ axis est; ergo circulus $\gamma\delta\beta$ ad axem est perpendicularis, id quod contra hypothesim est; itaque punctum ϑ non est centrum sphaerae. Ac similiter demonstrabimus nullum aliud punctum praeter ε *centrum esse*; ergo punctum ε centrum sphaerae est.

Atqui[3]) *punctum* ε *positum* est et in circuli $\alpha\beta\gamma$ et in $\gamma\delta\beta$ *plano*; ergo uterque circulorum $\alpha\beta\gamma$ $\gamma\delta\beta$ maximus est[4]).

---

1) Theodos. sphaer. 1, 7 (conf. *σχόλιον νς*).

2) Conf. ea quae supra p. 27, 3 adnotavimus.

3) Haec extrema demonstrationis pars in brevius contracta est. Exspectabatur repetitio quaedam superioris propositionis (p. 44) his fere verbis composita: *Λέγω δὴ ὅτι ἑκάτερος τῶν ΑΓΒ ΓΔΒ κύκλων μέγιστός ἐστιν. τοῦτο δὲ φανερόν* etc.

4) Theodos. sphaer. 1, 6 (conf. *σχόλιον νζ*).

ΑΥΤΟΛΥΚΟΥ

ΠΕΡΙ ΕΠΙΤΟΛΩΝ ΚΑΙ ΔΥΣΕΩΝ

ΤΟ Α.

Ὅροι.

α΄. Τῶν ἀπλανῶν ἄστρων αἱ ἐπιτολαί τε καὶ δύσεις αἱ μὲν λέγονται ἀληθιναί, αἱ δὲ φαινόμεναι. 5

β΄. Τῶν δὲ ἀληθινῶν ἑῴα μέν ἐστιν ἐπιτολή, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι ἄστρον τι συνανατέλλῃ.

γ΄. Ἑῴα δὲ δύσις, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι ἄστρον τι δύνῃ. 10

δ΄. Ἑσπερία δὲ ἀνατολή, ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι ἄστρον τι ἀνατέλλῃ.

ε΄. Ἑσπερία δὲ δύσις, ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι ἄστρον τι συνδύνῃ.

ϛ΄. Τῶν δὲ φαινομένων ἑῴα μέν ἐστιν ἐπιτολή, 15
(α) *ὅταν πρὶν τὸν ἥλιον ἀνατεῖλαι ἄστρον τι πρώτως φανῇ ἀνατέλλον.*

ζ΄. Ἑῴα δὲ δύσις, ὅταν πρὶν τὸν ἥλιον ἀνατεῖλαι
(β) *ἄστρον τι πρώτως φανῇ δῦνον.*

(α) *Ὥστε ὀφθὲν ἀνατέλλον μηκέτι ὀφθῆναι ἀνατέλλον.* 20
(β) *Οἷον ἐπὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, ὅτε πρῶτον φανῇ.*

AUTOLYCI

DE ORTIBUS ET OCCASIBUS

LIBER I.

Definitiones.

1. Astrorum fixorum ortus et occasus partim veri partim apparentes dicuntur.

2. Verus ortus matutinus est, cum sol simul atque astrum aliquod oriuntur.

3. Verus occasus matutinus est, cum sol simul oritur atque astrum aliquod occidit.

4. Verus ortus vespertinus est, cum sol simul occidit atque astrum aliquod oritur.

5. Verus occasus vespertinus est, cum sol simul atque astrum aliquod occidunt.

6. Apparens ortus matutinus est, cum, antequam sol oritur, astrum aliquod primo oriens conspicitur.

7. Apparens occasus matutinus est, cum, antequam sol oritur, astrum aliquod primo occidens conspicitur.

DEFINITIONES: conf. in appendice ad hunc librum scholium 1. Diverso quodam ex fonte ea repetita sunt quae Theo Smyrnaeus in expositione rerum mathematicarum ad legendum Platonem utilium, de astronomia cap. 14 (p. 137 sq. ed. Hiller), de eodem argumento tradit.

η'. Ἑσπερία δὲ ἐπιτολή, ὅταν μετὰ τὸ τὸν ἥλιον δῦναι ἄστρον τι ἐσχάτως φανῇ ἀνατέλλον.

θ'. Ἑσπερία δὲ δύσις, ὅταν μετὰ τὸ τὸν ἥλιον
(γ) δῦναι ἄστρον τι ἐσχάτως φανῇ δῦνον.

Προτάσεις. 5

α'. Ἑκάστου τῶν ἀπλανῶν ἄστρων αἱ ἑῷαι ἐπιτολαί τε καὶ δύσεις αἱ φαινόμεναι ὕστεραί εἰσιν τῶν ἀληθινῶν, αἱ δὲ ἑσπέριαι ἐπιτολαί τε καὶ δύσεις αἱ φαινόμεναι πρότεραί εἰσι τῶν ἀληθινῶν.

Ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ὁ δὲ 10 τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καὶ ἔστω ἀνατολικὰ μὲν μέρη τὰ πρὸς τῷ Δ, δυτικὰ δὲ τὰ πρὸς τῷ Β, καὶ ἔστω ὑπὸ γῆν τὸ ΑΕΓ ἡμικύκλιον, καί, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρον τι τῶν ἀπλανῶν συνανατελλέτω τὸ Δ· τοῦ 15 ἄρα Δ ἄστρου ἡ ἀληθινή ἐστιν ἑῴα ἀνατολή· λέγω ὅτι ἡ φαινομένη ἐπιτολὴ τοῦ Δ ἄστρου ὑστέρα ἐστὶν τῆς ἀληθινῆς.

(δ) Τοῦ μὲν οὖν ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, τὸ
(ε) Δ ἄστρον οὐ φαίνεται ἀνατέλλον, οὐδὲ μὴν τοῦ ἡλίου 20 τὴν ΓΖΑ περιφέρειαν διαπορευομένου τὸ Δ ἄστρον φαίνεται ἀνατέλλον, ὡς δειχθήσεται ὕστερον· μετὰ

(γ) Ὡς μηκέτι ὀφθῆναι δῦνον.

(δ) Ἐπειδὴ γὰρ τὰ προηγούμενα σημεῖα πρότερον ἀνατέλλει, ὅσα ἂν λάβωμεν ἐπὶ τῆς ΓΖΑ περιφερείας, καθὰ πρόεισιν ὁ 25 ἥλιος, πρὸ τοῦ Α ἀνατέλλει, τουτέστι τοῦ Δ (συνανατέλλει γὰρ τοῦτο τῷ Α), ἀεὶ οὖν ὁ ἥλιος πρὸ τοῦ Δ ἀνατέλλει· τὰ γὰρ προηγούμενα πρότερον ἀνατέλλει καὶ πρότερον δύνει, προηγούμενον δὲ τὸ Α.

(ε) Διὰ τὸ καταυγάζεσθαι. 30

PROPOS. 1: conf. in appendice ad hunc librum schol. 2.

8. Apparens ortus vespertinus est, cum, postquam sol occidit, astrum aliquod postremo oriens conspicitur.

9. Apparens occasus vespertinus est, cum, postquam sol occidit, astrum aliquod postremo occidens conspicitur.

Propositiones.

I. Omnium astrorum fixorum matutini ortus occasusque, qui apparent, posteriores sunt quam veri, vespertini autem ortus occasusque, qui apparent, priores quam veri. Prop. 1

Sit in mundo circulus horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et sint partes orientales versus δ, occidentales autem versus β, et sit sub terra semicirculus $\alpha\varepsilon\gamma$, et sole in α oriente simul astrum aliquod fixum δ oriatur; ergo astri δ est verus ortus matutinus[1]; dico astri δ ortum, qui apparet, posteriorem esse quam verum.



Sole igitur in puncto α oriente, astrum δ oriens latet[2]; neque vero, dum sol semicirculum $\gamma\zeta\alpha$ percurrit, astrum δ oriens apparet, ut posthac demonstrabitur[3]; ergo quibusdam diebus praeteritis astrum

FIGURA similis exstat in codicibus ACE.

1) His verbis scriptor cum definitionem quam supra posuit secundam citat tum in figura, quae adscripta est, eum ortum adumbratum esse significat. Similes citationes infra passim leguntur.

2) Conf. σχόλιον δ et in appendice 3.

3) Vide infra p. 56, 5—16.

ἄρα τινὰς ἡμέρας τὸ Δ ἄστρον φανήσεται ἀνατέλλον τοῦ ἡλίου διελθόντος τηλικαύτην περιφέρειαν ὥστε τὸ Δ ἄστρον ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγάς. φαινέσθω οὖν πρώτως τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Ε, τοῦ Δ ἄστρου ἐστὶν ἡ φαι- 5 νομένη ἑῴα ἀνατολή. καὶ ἐπεὶ ὁ ἥλιος πρότερον ἐπὶ τὸ Α παραγίγνεται ἤπερ ἐπὶ τὸ Ε, ἀλλ' ὅταν μὲν ἐπὶ τὸ Α παραγένηται, τοῦ Δ ἄστρου ἐστὶν ⟨ἡ⟩ ἑῴα ἀληθινὴ ἐπιτολή, ὅταν δὲ ἐπὶ τὸ Ε, ἡ ἑῴα φαινομένη ἐπιτολή, ἡ ἄρα φαινομένη ὕστερόν ἐστι τῆς ἀληθινῆς. 10

Πάλιν δή, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρον τι τῶν ἀπλανῶν δυνέτω τὸ Β· τοῦ ἄρα Β ἄστρου ἡ ἀληθινὴ ἑῴα ἐστὶ δύσις· λέγω δὴ ὅτι ἡ φαινομένη ὕστερόν ἐστι τῆς ἀληθινῆς.

Τοῦ μὲν οὖν ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, τὸ 15
(ς) Β ἄστρον οὐ φαίνεται δῦνον, οὐδὲ μὴν τοῦ ἡλίου τὴν ΓΖΑ περιφέρειαν διαπορευομένου, τὸ Β ἄστρον φαί-
(ζ) νεται δῦνον· μετὰ ἄρα τινὰς ἡμέρας τὸ Β ἄστρον φανήσεται δῦνον, τοῦ ἡλίου διελθόντος τηλικαύτην περιφέρειαν ὥστε τὸ Β ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγάς. 20 ἐκφευγέτω οὖν τὸ Β ἄστρον τὰς τοῦ ἡλίου αὐγὰς πρώτως τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Ε, τοῦ Β ἄστρου ἐστὶν ἡ φαινομένη ἑῴα δύσις. καὶ ἐπεὶ πρότερον ὁ ἥλιος ἐπὶ τὸ Α παραγίγνεται ἤπερ ἐπὶ τὸ Ε, ἀλλ' ὅταν μὲν ἐπὶ τὸ Α παρα- 25 γένηται, τοῦ Β ἄστρου ἐστὶν ἡ ἀληθινὴ ἑῴα δύσις, ὅταν δὲ ἐπὶ τὸ Ε, ἡ φαινομένη, ἡ ἄρα φαινομένη ὕστερόν ἐστι τῆς ἀληθινῆς.

(ς) Ἐπειδὴ ὑπὲρ γῆν τὸ ΓΖΑ ἡμικύκλιον.

(ζ) Τουτέστι πρὸ τούτου μὴ φαινόμενον δῦνον, τότε πρῶ- 30 τον φανῇ δῦνον.

δ oriens apparebit, cum sol tantum arcum percurrerit, ut astrum δ solis radios effugiat. Iam appareat primo, cum sol ad punctum ε pervenit; ergo, cum sol est ad punctum ε, astri δ est apparens ortus matutinus (*def. 6*). Et quia sol prius ad α quam ad ε pervenit, et eo tempore, quo ad α pervenit, astri δ est verus ortus matutinus, quo autem ad ε, apparens ortus matutinus, apparens igitur *ortus* posterior est quam verus.

Iam rursus, cum sol in α oritur, astrum quoddam fixum β occidat; ergo astri β est verus occasus matutinus (*def. 3*); dico igitur *occasum*, qui apparet, posteriorem esse quam verum.

Sole igitur in α oriente, astrum β occidens latet; neque vero, dum sol semicirculum $\gamma\zeta\alpha$ percurrit, astrum β occidens apparet[1]; ergo quibusdam diebus praeteritis astrum β occidens apparebit, cum sol tantum arcum percurrerit, ut astrum β solis radios effugiat. Iam astrum β solis radios primo effugiat, cum sol ad punctum ε pervenit; ergo, cum sol est ad punctum ε, astri β est apparens occasus matutinus (*def. 7*). Et quia sol prius ad α quam ad ε pervenit, et eo tempore, quo ad α pervenit, astri β est verus occasus matutinus, quo autem ad ε, apparens, *occasus* igitur apparens posterior est quam verus.



1) Est enim semicirculus $\gamma\zeta\alpha$ supra terram. AURIA in marg. p. 4 (conf. σχόλιον ς).

Πάλιν δή, τοῦ ἡλίου δύνοντος κατὰ τὸ Γ, ἄστρον τι τῶν ἀπλανῶν ἀνατελλέτω τὸ Δ· τοῦ ἄρα Δ ἄστρου ἐστὶν ἡ ἑσπερία ἀληθινὴ ἀνατολή· λέγω δὴ ὅτι ἡ φαινομένη πρότερόν ἐστι τῆς ἀληθινῆς.

Τοῦ μὲν οὖν ἡλίου δύνοντος κατὰ τὸ Γ, τὸ Δ 5
(η) *ἄστρον οὐ φαίνεται ἀνατέλλον, οὐδὲ μὴν τοῦ ἡλίου μεταπεπτωκότος εἰς τὸ ΓΖΑ ἡμικύκλιον τὸ Δ ἄστρον φαίνεται ἀνατέλλον· πρὶν ἄρα τὸν ἥλιον ἐπὶ τὸ Γ παραγενέσθαι τὸ Δ ἄστρον φανήσεται ἀνατέλλον. φαινέσθω οὖν ἐσχάτως τοῦ ἡλίου ὄντος πρὸς τῷ Η· τοῦ* 10 *ἄρα ἡλίου ὄντος πρὸς τῷ Η, τοῦ Δ ἄστρου ἐστὶν ἡ φαινομένη ἑσπερία ἀνατολή. καὶ ἐπεὶ πρότερον ὁ ἥλιος ἐπὶ τὸ Η παραγίγνεται ἤπερ ἐπὶ τὸ Γ, ἀλλ' ὅταν μὲν ἐπὶ τὸ Η παραγένηται, τοῦ Δ ἄστρου ἐστὶν ἡ ἑσπερία φαινομένη ἐπιτολή, ὅταν δὲ ἐπὶ τὸ Γ, ἡ* 15 *ἀληθινή, ἡ ἄρα φαινομένη πρότερόν ἐστι τῆς ἀληθινῆς.*

Πάλιν δή, τοῦ ἡλίου δύνοντος κατὰ τὸ Γ, ἄστρον τι τῶν ἀπλανῶν δυνέτω τὸ Β· τοῦ ἄρα Β ἄστρου ἐστὶν ἡ ἑσπερία ἀληθινὴ δύσις· λέγω ὅτι ἡ φαινομένη 20 *πρότερόν ἐστι τῆς ἀληθινῆς.*

Τοῦ μὲν οὖν ἡλίου δύνοντος κατὰ τὸ Γ, τὸ Β ἄστρον οὐ φαίνεται δῦνον, οὐδὲ μὴν τοῦ ἡλίου μεταπεπτωκότος εἰς τὸ ΓΖΑ ἡμικύκλιον, τὸ Β ἄστρον φαίνεται δῦνον· πρὶν ἄρα τὸν ἥλιον ἐπὶ τὸ Γ παρα- 25 *γενέσθαι τὸ Β ἄστρον φανήσεται δῦνον. φαινέσθω ἐσχάτως τοῦ ἡλίου ὄντος πρὸς τῷ Η· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Η, τοῦ Β ἄστρου ἐστὶν ἡ ἑσπερία φαινομένη δύσις. καὶ ἐπεὶ πρότερον ὁ ἥλιος ἐπὶ τὸ*

(η) *Ἐπειδὴ ἔτι αὐγαί εἰσιν ὑπὲρ γῆν.* 30

Iam rursus, cum sol in γ occidit, astrum quoddam fixum δ oriatur; ergo astri δ est verus ortus vespertinus (*def. 4*); dico igitur *ortum*, qui apparet, priorem esse quam verum.

Sole igitur in γ occidente, astrum δ oriens latet, neque vero, cum sol in semicirculum $\gamma\zeta\alpha$ transiit, astrum δ oriens apparet[1]); ergo ante, quam sol ad γ pervenerit, astrum δ oriens apparebit. Iam postremo appareat, cum sol est ad η; ergo cum sol ad η est, astri δ est apparens ortus vespertinus (*def. 8*). Et quia sol prius ad η quam ad γ pervenit, et eo tempore, quo ad η pervenit, astri δ est apparens ortus vespertinus, quo autem ad γ, verus, apparens igitur *ortus* prior est quam verus.



Iam rursus, cum sol in γ occidit, astrum quoddam fixum β occidat; ergo astri β est verus occasus vespertinus (*def. 5*); dico *occasum*, qui apparet, priorem esse quam verum.

Sole igitur in γ occidente, astrum β occidens latet, neque vero, cum sol in semicirculum $\gamma\zeta\alpha$ transiit, astrum β occidens apparet; ergo ante, quam sol ad γ pervenerit, astrum β occidens apparebit. Postremo appareat, cum sol est ad η; ergo, cum sol est ad η, astri β est apparens occasus vespertinus (*def. 9*). Et quia sol prius ad η quam ad γ pervenit, et eo

1) Solis enim radii adhuc supra terram sunt. AURIA in marg. p. 4 (conf. σχόλιον η).

Η παραγίγνεται ἤπερ ἐπὶ τὸ Γ, ἀλλ' ὅταν μὲν ἐπὶ τὸ Η παραγένηται, τοῦ Β ἄστρου ἐστὶν ἡ ἑσπερία φαινομένη δύσις, ὅταν δὲ ἐπὶ τὸ Γ, ἡ ἀληθινή, ἡ ἄρα φαινομένη προτέρα ἐστὶν τῆς ἀληθινῆς.

(θ) *Ἔστω τὰ αὐτά· λέγω ὅτι οὐδὲ τὴν ΓΖΑ περιφέρειαν διαπορευομένου τοῦ ἡλίου φανήσεται τὸ Δ ἄστρον ἀνατέλλον.*



Ἀνατελλέτω γὰρ ὁ ἥλιος κατὰ
(ι) *τὸ Η. καὶ ἐπεὶ τὸ Η πρότερον ἀνατέλλει ἤπερ τὸ Α, τὸ δὲ Α τῷ Δ συνανατέλλει, πρότερον ἄρα τὸ Η ἀνατέλλει ἤπερ τὸ Δ· τὸ Δ ἄρα οὐ φανήσεται. ὥστε, ὅταν τὴν ΓΖΑ περιφέρειαν διαπορεύηται ὁ ἥλιος, οὐ φαίνεται τὸ Δ ἀνατέλλον.*

β'. Ἕκαστον τῶν ἀπλανῶν ἄστρων ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑκάστης νυκτὸς ὁρᾶται ἐπιτέλλον μέχρι τῆς ἑσπερίας φαινομένης ἐπιτολῆς, ἐν ἄλλῳ δὲ χρόνῳ οὐθενί, καὶ ἔστιν ὁ χρόνος ἐν ᾧ ὁρᾶται τὸ ἄστρον ἐπιτέλλον ἐλάσσων ἡμίσους ἐνιαυτοῦ.

Ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καί, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρου τι τῶν ἀπλανῶν συνανατελλέτω [κατὰ] τὸ Δ· τοῦ ἄρα Δ ἄστρου ἐστὶν ἡ ἑῴα ἀληθινὴ ἐπιτολή. ὕστεραι δέ εἰσιν αἱ

(θ) *Ἐν ὅσῳ γὰρ ὁ ἥλιος τὴν ΓΖΑ περιφέρειαν διαπορεύεται, τὸ Δ οὐδέπω ἀνέτειλεν, ἐπειδὴ οὐδὲ τὸ Α· πάντα γὰρ τὰ ἐπὶ τῆς ΓΖΑ περιφερείας πρὸ τοῦ Α ἀνατέλλει ὡς προηγούμενα, ταῦτα δὲ διαπορεύεται ὁ ἥλιος.*

(ι) *Καὶ προηγούμενον τὸ Η προανατέλλει.*

tempore, quo ad η pervenit, astri β est apparens occasus vespertinus, quo autem ad γ, verus, apparens igitur *occasus* prior est quam verus.

Sint eadem *supposita*; dico ne eo quidem tempore, quo sol semicirculum $\gamma\zeta\alpha$ percurrit, astrum δ oriens appariturum esse [1]).

Oriatur enim sol in puncto η. Et quia η prius oritur quam α [2]), simul autem cum α *astrum* δ oritur [3]), prius igitur η quam δ oritur; ergo δ non apparebit. Itaque [4]) eo tempore, quo sol semicirculum $\gamma\zeta\alpha$ percurrit, astrum δ oriens non apparet.

Prop. 2

II. Unumquodque astrum fixum omnibus noctibus, quae sunt ab ortu apparente matutino usque ad vespertinum ortum apparentem, oriens conspicitur, nullo autem alio tempore, estque tempus, quo astrum oriens conspicitur, minus dimidio anno.

Sit in mundo circulus horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et sole in α oriente simul astrum aliquod fixum δ oriatur; ergo astri δ est verus ortus matutinus (*def. 2*). Sed appa-

---

1) Hanc extremam primi theorematis partem cum sua demonstratione inter scholia subiungit Auria p. 6. Idem ad ipsam propositionem illud insuper scholium expressum e Graeco ϑ addit, quod nos in appendice (4) repetemus.

FIGURA in hanc propositionem altera secundum verba scriptoris nostra coniectura delineata est. Apud Auriam p. 6 notae geometricae similiter atque in priore figura sunt dispositae, et in semicirculo $\gamma\zeta\alpha$ super ε addita est littera H, id est ϑ.

2) Antegreditur enim ipsum α, ideo prius oritur. AURIA in marg p. 6, quibus in verbis 'ipsum α' est accusativus, et subiectum intellegitur η (conf. $\sigma\chi\acute{o}\lambda\iota o\nu$ ι).

3) Ut positum est. IDEM.

4) Conclusio scriptoris valet, quamcunque positionem η habet in semicirculo $\alpha\eta\gamma$.

PROPOS. 2: conf. libri secundi propos. 4.

(ια) φαινόμεναι τῶν ἀληθινῶν. ἔστω δὴ τοῦ Δ ἄστρου ἡ φαινομένη ἑῴα ἐπιτολὴ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε. ὑποκείσθω δὴ πάλιν τοῦ Δ ἀνατέλλοντος ὁ ἥλιος δύνων κατὰ τὸ Γ· τοῦ ἄρα Δ ἄστρου ἐστὶν ἡ ἑσπερία ἀληθινὴ ἐπιτολή. πρότεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθινῶν. ἔστω οὖν τοῦ Δ ἄστρου ἡ ἑσπερία
(ιβ) φαινομένη ἐσχάτη ἐπιτολὴ τοῦ ἡλίου ὄντος πρὸς τῷ
(ιγ) Η. τοῦ μὲν οὖν ἡλίου διαπορευομένου τὰς ΑΕ ΗΓ
(ιδ) περιφερείας οὐ φαίνεται τὸ Δ ἄστρον ἐπιτέλλον, οὐδὲ
(ιε) μὴν τοῦ ἡλίου τὴν ΓΖΑ περιφέρειαν διαπορευομένου φανήσεται τὸ Δ ἄστρον ἐπιτέλλον· μόνην ἄρα τὴν ΕΗ διαπορευομένου τοῦ ἡλίου φαίνεται τὸ Δ ἄστρον ἀνατέλλον. καὶ ἔστιν ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΕΗ περιφέρειαν διαπορεύεται ἐλάσσων ἡμίσους ἐνιαυτοῦ (ἐλάσσων γάρ ἐστιν ἡ ΕΗ περιφέρεια ἡμικυκλίου).

γ'. Ἕκαστον τῶν ἀπλανῶν ἄστρων ἀπὸ ἑῴας φαινομένης δύσεως ἑκάστης νυκτὸς ὁρᾶται δῦνον μέχρι τῆς ἑσπερίας φαινομένης δύσεως, ἐν ἄλλῳ δὲ χρόνῳ

(ια) Τουτέστιν ἔστω τοῦ Δ ἄστρου ἡ φαινομένη πρώτη ἐπιτολὴ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε, ἵνα, τοῦ ἡλίου γενομένου πρὸς τῷ Ε, τότε πρώτως φανῇ τοῦ Δ ἄστρου ἡ ἑῴα φαινομένη ἐπιτολή· μηδέ πω τοῦ ἡλίου παραγενομένου ἐπὶ τὸ Ε σημεῖον, ἀλλ' ἔτι ἐπὶ τῆς ΑΕ περιφερείας ὄντος μὴ φαίνεσθαι τοῦ Δ ἄστρου τὴν ἑῴαν φαινομένην ἐπιτολήν.

(ιβ) Ὡς προηγουμένη τοῦ Η.

(ιγ) Ἐπειδὴ γὰρ ὁ ἥλιος, τὴν ΑΕ περιφέρειαν διελθὼν καὶ ἐπὶ τὸ Ε σημεῖον παραγενόμενος, τότε πρώτως ποιεῖ τῷ Δ ἄστρῳ τὴν ἑῴαν φαινομένην ἐπιτολήν, τοῦ ἄρα ἡλίου τὴν ΑΕ περιφέρειαν διερχομένου καὶ μήπω κατὰ τὸ Ε σημεῖον γενομένου, οὐ ποιεῖ τῷ Δ ἄστρῳ τὴν ἑῴαν φαινομένην ἀνατολήν· ὥστε τὴν ΑΕ περιφέρειαν διερχομένου τοῦ ἡλίου οὐ φαίνεται τὸ Α ἄστρον ἐπιτέλλον. ὁμοίως δὲ οὐδὲ τὴν ΓΗ διερχομένου τοῦ ἡλίου φαίνεται τὸ Δ ἄστρον ἀνατέλλον διὰ τὰ αὐτά.

(ιδ) Ἀλλ' ὅταν συμπληρώσῃ αὐτάς.

(ιε) Ἐπειδὴ ὑπὲρ γῆν.

rentes *ortus matutini* posteriores sunt quam veri[1]). Sit igitur astri δ apparens ortus matutinus, cum sol est ad ε.[2]) Iam rursus suppositum sit, cum δ oritur, solem occidere in puncto γ; ergo astri δ est verus ortus vespertinus (*def. 4*). Sed apparentes *ortus vespertini* priores sunt quam veri[3]). Sit igitur astri δ postremus, qui appareat, ortus vespertinus, cum sol est ad η. Dum igitur sol arcus αε ηγ percurrit, astrum δ oriens latet[4]), neque vero, dum sol semicirculum γζα percurrit, astrum δ oriens apparebit[5]); ergo solus arcus εη restat, quem cum sol percurrit, astrum δ oriens apparet. Et tempus, quo sol arcum εη percurrit, minus est dimidio anno (nam arcus εη minor est semicirculo).



III. Unumquodque astrum fixum omnibus noctibus, quae sunt ab occasu apparente matutino usque ad vespertinum occasum apparentem, occidens conspicitur, Prop 3

FIGURA non differt a priore in propos. 1, ac similis exstat in codicibus AC. In E nota η posita est inter ζ et α, et omissa est ε.

1) Autol. propos. 1 huius.
2) Conf. σχόλιον ια et in appendice 5.
3) Autol. propos. 1 huius.
4) Sunt enim solis radii adhuc supra terram; videbitur itaque δ astrum oriri, cum sol ipsas circumferentias αε et γη omnino pertransiverit. AURIA in marg. p. 7. Conf. σχόλια ιδ et ιγ (in appendice schol. 6).
5) Est enim semicirculus γζα supra terram. IDEM (conf. σχόλιον ιε).

οὐθενί, καὶ ἔστιν ὁ χρόνος ἐν ᾧ τὸ ἄστρον ὁρᾶται δῦνον ἐλάσσων ἡμίσους ἐνιαυτοῦ.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ζῳδιακὸς δὲ ὁ ΑΕΓΖ, καὶ ἔστω ὑπὸ γῆν τὸ ΑΕΓ ἡμικύκλιον, καί, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρον τι τῶν ἀπλανῶν δυνέτω τὸ Β· τοῦ ἄρα Β ἄστρου ἐστὶν ἀληθινὴ ἑῴα δύσις. ὕστεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθινῶν. ἔστω οὖν τοῦ Β ἄστρου ἡ φαινομένη πρώτως ἑῴα δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε. πάλιν δὴ τοῦ Β ἄστρου δύνοντος ὑποκείσθω ὁ ἥλιος δύνων κατὰ τὸ Γ· τοῦ Β ἄρα ἄστρου ἐστὶν ἡ ἑσπερία ἀλη-
(ις) θινὴ δύσις. πρότεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθινῶν. ἔστω οὖν τοῦ Β ἄστρου ἡ φαινομένη ἐσχάτη ἑσπερία δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Η.
(ιζ) τοῦ μὲν οὖν ἡλίου τὰς ΑΕ ΗΓ περιφερείας διαπο-
(ιη) ρευομένου οὐ φαίνεται τὸ Β ἄστρον δῦνον, οὐδὲ μὴν τοῦ ἡλίου τὴν ΓΖΑ περιφέρειαν διαπορευομένου τὸ Β ἄστρον φαίνεται δῦνον· μόνην ἄρα τὴν ΕΗ περιφέρειαν τοῦ ἡλίου διαπορευομένου τὸ Β ἄστρον φανήσεται δῦνον. καὶ ἔστιν ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΕΗ περιφέρειαν διαπορεύεται ἐλάσσων ἡμίσους ἐνιαυτοῦ.

δ'. Τῶν ἀπλανῶν ἄστρων ὅσα μέν ἐστιν ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην δύσιν ποιεῖται διὰ ἡμίσους ἐνιαυτοῦ, τὰ δὲ πρὸς ἄρκτους διὰ πλείονος, τὰ δὲ πρὸς μεσημβρίαν δι' ἐλάσσονος.

(ις) Διὰ τὸ α'.
(ιζ) Ἔτι γὰρ αὐγαί εἰσιν, ἀλλ' ὅταν πληρώσῃ αὐτάς.
(ιη) Ἐπειδὴ ὑπὲρ γῆν.

FIGURA non differt a superiore, ac similis exstat in ACE.

nullo autem alio tempore, estque tempus, quo astrum occidens conspicitur, minus dimidio anno.

Sit in mundo horizon $\alpha\beta\gamma\delta$, zodiacus autem $\alpha\varepsilon\gamma\zeta$, et sit sub terra semicirculus $\alpha\varepsilon\gamma$, et sole in α oriente astrum aliquod fixum β occidat; ergo astri β est verus occasus matutinus (*def. 3*). Sed apparentes *occasus matutini* posteriores sunt quam veri[1]). Sit igitur astri β primus, qui appareat, occasus matutinus, cum sol est ad ε. Iam rursus, cum astrum β occidit, suppositum sit solem occidere in γ; ergo astri β est verus occasus vespertinus (*def. 5*). Sed apparentes *occasus vespertini* priores sunt quam veri. Sit igitur astri β postremus, qui appareat, occasus vespertinus, cum sol est ad η. Dum igitur sol arcus $\alpha\varepsilon$ $\eta\gamma$ percurrit, astrum β occidens latet[1]), neque vero, dum sol semicirculum $\gamma\zeta\alpha$[2]) percurrit, astrum β occidens apparet; ergo solus arcus $\varepsilon\eta$ restat, quem cum sol percurrit, astrum β occidens conspicietur. Et tempus, quo sol arcum $\varepsilon\eta$ percurrit, minus est dimidio anno[3]).



Prop. 4

IV. Astrorum fixorum ea quae sunt in circulo zodiaco ab ortu matutino apparente occasum matutinum apparentem faciunt post dimidium annum, ea autem quae sunt ad septentriones intermisso maiore, ea denique quae sunt ad meridiem minore *temporis spatio.*

1) Apparebit astrum β occidere, cum sol circumferentias $\alpha\varepsilon$ et $\eta\gamma$ omnino pertransiverit. AURIA in marg. p. 9 (conf. σχόλ. ιζ).

2) Est enim supra terram. IDEM (conf. σχόλιον ιη).

3) Circumferentia enim $\varepsilon\eta$ semicirculo minor est. IDEM extremo contextu huius theorematis.

Ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καὶ ἔστω ὑπὸ γῆν τὸ ΑΕΓ ἡμικύκλιον, καὶ τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α ἄστρα τινὰ τῶν ἀπλανῶν συνανατελλέτω τὰ Β Α Δ, τὸ μὲν Α ἐπὶ τοῦ ζῳδια- 5
(ιθ) κοῦ, τὸ δὲ Β πρὸς ἄρκτους, τὸ δὲ Δ πρὸς μεσημβρίαν· λέγω ὅτι τῷ μὲν Α ἄστρῳ ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴα φαινομένη δύσις γίγνεται διὰ ἡμίσους ἐνιαυτοῦ, τῷ δὲ Β διὰ πλείονος, τῷ δὲ Δ δι' ἐλάσσονος.

Ἐπεὶ γὰρ τῷ ἡλίῳ ἀνατέλλοντι κατὰ τὸ Α ἄστρα 10 τινὰ τῶν ἀπλανῶν συνανατέλλει τὰ Β Α Δ, τῶν ἄρα Β Α Δ ἄστρων εἰσὶν αἱ ἑῷαι ἀληθιναὶ ἐπιτολαί. ὕστερον δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθινῶν. ἔστωσαν οὖν τῶν Β Α Δ ἄστρων αἱ φαινόμεναι ἑῷαι ἐπιτολαὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε. καὶ ἐπεὶ τὰ ἐπὶ τοῦ 15 τῶν ζῳδίων κύκλου ἄστρα τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ ἄρα Α δύνοντος τὸ κατὰ διάμετρον αὐτῷ τὸ Γ ἀνατέλλει,
(κ) καὶ ἔσται τὸ μὲν ΑΕΓ ἡμικύκλιον ὑπὲρ γῆν τὸ δὲ ΑΖΓ ὑπὸ γῆν. καὶ τοίνυν ὅταν τὸ Α δύνῃ 20 καὶ τὸ Γ ἀνατέλλῃ καὶ ὁ ἥλιος πρὸς τῷ Γ γένηται [ἀνατέλλει καὶ], ἔσται τοῦ Α ἄστρου ἡ ἀληθινὴ

(ιθ) Τουτέστι βορειότερον τοῦ Α τὸ Β. τουτέστι νοτιώτερον τοῦ Α τὸ Δ.

(κ) Ἐπειδὴ καὶ κατὰ παραλλήλων κύκλων, οὓς γράφουσι τὰ σημεῖα, τό τε Α ἀνατέλλον δύνει καὶ τὸ Γ δῦνον ἀνατέλλει, καὶ ἐν ὅσῳ ἑκάτερον τὴν ἰδίαν περιφέρειαν διαπορεύεται, ὁ ζῳδιακὸς τὴν ἔμπαλιν θέσιν ἕξει, καὶ ὃ ἦν ὑπὸ γῆν ἡμικύκλιον ὑπὲρ γῆν ἔσται. 25

FIGURA prior similis exstat in codicibus AC; in E repetita est figura propositionis 3, sed littera ζ propius α posita.

1) Scilicet sit β borealius et δ meridionalius ipso α. AURIA in marg. p. 10 (conf. σχόλιον ιθ).

Sit in mundo circulus horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et sit semicirculus $\alpha\varepsilon\gamma$ sub terra, et, cum sol in puncto α oritur, astra quaedam fixa β α δ simul oriantur, et quidem astrum α in zodiaco, β ad septentriones, δ ad meridiem[1]); dico astri α ab ortu matutino apparente occasum matutinum apparentem fieri post dimidium annum, astri autem β intermisso maiore, denique astri δ minore *temporis spatio.*



Quoniam enim, cum sol in α oritur, astra quaedam fixa β α δ simul oriuntur, astrorum igitur β α δ sunt veri ortus matutini (*def. 2*). Sed apparentes *ortus matutini* posteriores sunt quam veri[2]). Sint igitur astrorum β α δ apparentes ortus matutini eo tempore, quo sol est ad ε. Et quia in circulo zodiaco astra iuxta diametrum opposita coniugate et oriuntur et occidunt[3]), astro igitur α occidente astrum γ ei oppositum oritur, ac semicirculus $\alpha\varepsilon\gamma$ super terram, semicirculus autem $\alpha\zeta\gamma$ sub terra erit[4]). Itaque, cum α occidet et γ orietur et sol ad γ erit, astri α fiet



2) Autol. propos. 1 huius.
3) Eucl. phaenom. 6.
FIGURAM alteram secundum verba scriptoris nostra coniectura addidimus.
4) Conf. σχόλιον κ et in appendice 7.

ἑῴα δύσις. ὕστεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀλη-
(κα) θινῶν. ἔστω οὖν τοῦ Α ἄστρου ἡ φαινομένη ἑῴα
(κβ) δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ. καὶ ἐπεὶ τετήρηται
τὰ ἄστρα ἐν ἴσῳ χρόνῳ ἐκφεύγοντα τὰς τοῦ ἡλίου
αὐγάς, ἴση ἄρα ἐστὶν ἡ ΑΕ περιφέρεια τῇ ΓΖ περι- 5
φερείᾳ. κοινὴ δὲ ἡ ΓΕ· ὅλη ἄρα ἡ ΑΕΓ ὅλῃ τῇ ΕΓΖ
ἐστὶν ἴση. ἡμικύκλιον δέ ἐστιν τὸ ΑΕΖ· ἡμικύκλιον
(κγ) ἄρα ἐστὶ καὶ τὸ ΕΓΖ. καὶ διαπορεύεται ὁ ἥλιος τὸ
ΕΓΖ ἡμικύκλιον ἐν ἡμίσει ἐνιαυτοῦ (ἐπειδήπερ καὶ
τὸ ΑΕΓ)· τῷ ἄρα Α ἄστρῳ ἀπὸ ἑῴας φαινομένης 10
ἐπιτολῆς ἑῴα δύσις γίγνεται φαινομένη διὰ ἡμίσους
ἐνιαυτοῦ. καὶ ἐπεὶ τὰ Β Α Δ ἄστρα ἅμα ἀνατέλλει,
τὸ μὲν Β τοῦ Α ὕστερον δύνει, τὸ δὲ Δ τοῦ Α πρό-
τερον δύνει. διὰ δὴ τοῦτο φανερὸν ὅτι τῷ μὲν Β
διὰ πλείονος, τῷ δὲ Δ δι' ἐλάσσονος. 15

(κα) Σαφηνείας δὲ χάριν τοῦ Α δύνοντος κατὰ τὸ Θ, τὸ Γ ἀνατελλέτω κατὰ τὸ Κ, καὶ ἐχέτω θέσιν ὁ ζῳδιακὸς τὴν ΚΝΘ· ἔσται δὴ τὸ μὲν ΑΕΓ ἡμικύκλιον, ὡς τὸ ΘΝΚ, ὑπὲρ γῆς φαινόμενον, ἡ δὲ ΑΕ ἔσται ὡς ἡ ΘΝ, ἡ δὲ λοιπὴ ἔσται ὡς ἡ λοιπὴ ὑπὸ γῆν. καὶ τοίνυν τοῦ Α δύνοντος κατὰ τὸ Θ, 20 τοῦ δὲ Γ ἐπιτέλλοντος κατὰ τὸ Κ, καὶ γενομένου τοῦ ἡλίου πρὸς τῷ Γ, τουτέστι πρὸς τῷ Κ (τὸ γὰρ Γ ἐπὶ τὸ Κ παραγενέσθω), ἔσται τοῦ Θ ἄστρου ἡ ἑῴα ἀληθινὴ δύσις, τουτέστι τοῦ Α ἡ ἀληθινὴ δύσις· τὸ γὰρ Α ἐπὶ τὸ Ε παρεγένετο. ἔσται οὖν τοῦ Θ, τουτέστι τοῦ Α, ἡ φαινομένη ἑῴα δύσις τοῦ ἡλίου ὄντος 25 πρὸς τῷ Μ, τουτέστι πρὸς τῷ Ζ (ἡ γὰρ ΚΜ περιφέρεια ἡ ΓΖ ἐστίν)· ὥστε τοῦ Α ἡ ἑῴα φαινομένη δύσις ἐστὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ.

(κβ) Τοῦτο οὐκ ἀκριβῶς, ἀλλὰ κατὰ τὸ σύνεγγυς.

(κγ) Διαπορευομένου δὲ αὐτοῦ τὴν ΕΓΖ, γίνεται τοῦ Α 30 ἄστρου ἥ τε ἑῴα φαινομένη ἐπιτολὴ καὶ ἡ ἑῴα φαινομένη δύσις, ὥστε ἐν ἡμίσει ἐνιαυτοῦ γίνεται.

---

1) Autol. propos. 1 huius.
2) Conf. σχόλιον κα et in appendice 8.

verus occasus matutinus. Sed apparentes *occasus matutini* posteriores sunt quam veri[1]). Sit igitur astri



α apparens occasus matutinus eo tempore quo sol est ad ζ[2]). Et quia observatum est astra aequali tempore solis radios effugere[3]), arcus igitur αε arcui γζ aequalis est. Communis est autem arcus γε; totus igitur αεγ toti εγζ aequalis est. Atqui semicirculus est αεζ; ergo etiam εγζ semicirculus est. Et semicirculum εγζ sol dimidio anno percurrit[4]), quoniam item semicirculum αεγ; ergo astri



α ab ortu matutino apparente occasus matutinus apparens fit post dimidium annum. Et quia astra β α δ simul oriuntur, astrum *igitur* β posterius occidit quam α[5]), et δ prius occidit quam α[6]). Quapropter manifestum est astri β longiore, astri autem δ minore *quam dimidii anni tempore intermisso occasum matutinum apparentem fieri, id quod iam demonstrabimus.*

---

3) Hoc non exacte omnino verum est: lege Maurolycum et Ptolemaei Almagestum lib. 8 ca. 6. AURIA in marg. p. 10 (conf. σχόλιον κβ).

4) Conf. σχόλιον κγ et in appendice 9.

5) Autol. de sphaera 9; conf. etiam Eucl. phaenom. 5.

6) Id est: α posterius occidit quam δ; valet igitur eadem quam statim citavimus Autolyci propositio.

Ἔστω ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ζῳδιακὸς δὲ ὁ ΑΕΓ, καὶ ἀνατελλέτω τινὰ ἅμα ἄστρα τὰ Β Α Δ, ὧν τὸ μὲν Β πρὸς ἄρκτους, τὸ δὲ Α ἐπὶ τοῦ ζῳδιακοῦ, τὸ δὲ Δ πρὸς μεσημβρίαν· λέγω ὅτι τὸ Β ἄστρον ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην ποιεῖται δύσιν διὰ πλείονος ἡμίσους ἐνιαυτοῦ, τὸ δὲ Δ δι' ἐλάττονος.

Ἔστωσαν καθ' ὧν φέρεται τὰ Β Α παράλληλοι
(κδ) κύκλοι οἱ ΒΗ ΑΘ. καὶ ἐπεὶ τὸ Β τοῦ Α ὕστερον δύνει, τοῦ Α ἄρα πρὸς τῇ δύσει ὄντος τὸ Β ὑπὲρ
(κε) γῆν ἔσται. ἀλλὰ τοῦ Α δύνοντος τὸ Γ ἀνατέλλει, καὶ ὁ τῶν ζῳδίων κύκλος θέσιν ἕξει ὡς τὴν ΖΚΝΘ, τὸ δὲ ΑΕΓ ἡμικύκλιον ἔσται τὸ ΘΝΚ, καὶ ἔσται ὑπὲρ
(κς) γῆν, ἡ δὲ ΑΕ περιφέρεια· ἔσται ἡ ΘΝ· τοῦ Γ ἄρα ἀνατέλλοντος τὸ Β ὑπὲρ γῆν ἐστιν· τὸ ἄρα συναν-
τέλλον ἄστρον τῷ Β δύνοντι ἐπὶ τῆς ΚΖΘ ἐστὶ περι-
(κζ) φερείας. ἔστω τὸ Μ· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Μ, τοῦ Β ἄστρου ἐστὶν ἡ ἑῴα ἀληθινὴ δύσις. ὕστεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθινῶν· διελθόντος ἄρα τοῦ ἡλίου περιφέρειάν τινα, ὥστε τὸ Β ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγάς, ἔσται τοῦ Β ἑῴα φαινομένη δύσις.

(κδ) Διὰ τὸ θ' τοῦ περὶ κινουμένης σφαίρας.

(κε) Ἥτις ἐγένετο διὰ τὴν φαινομένην αὐτῶν ἐπιτολήν.

(κς) Ἐπειδὴ γὰρ τοῦ Α δύνοντος τὸ Β ὑπὲρ γῆν ἐστιν, ἀλλὰ τοῦ Α δύνοντος τὸ Γ ἀνατέλλει, καὶ τοῦ Γ ἄρα ἀνατέλλοντος τὸ Β ὑπὲρ γῆν ἐστιν.

(κζ) Τουτέστι τὸ ὀφεῖλον ἄστρον ἀνατεῖλαι τοῦ Β δύνοντος τὸ Ε ἐπὶ τῆς ΚΖΘ περιφερείας ἐστίν, ἥτις ἐστὶν ὑπὸ γῆν, ἐπειδὴ τὸ Β ὑπὲρ γῆν ἐστιν· ὥστε, ὅτε τὸ Β δύνει, ἐκεῖνο ἀνατέλλει.

FIGURAM secundum codices ACE delineavimus. Circumferentia θα, ipsi ηβ parallela, non comparet in AC. Notam ζ eodem loco servavimus, quo codices exhibent; sed tamen, ubi

Sit circulus horizon $\alpha\beta\gamma\delta$ et zodiacus $\alpha\varepsilon\gamma$, et simul oriantur astra quaedam β α δ, quorum β sit ad septentriones, α in zodiaco, δ ad meridiem; dico astrum β ab ortu matutino apparente occasum matutinum apparentem facere longiore, astrum autem δ minore quam dimidii anni tempore intermisso.



Paralleli circuli, per quos astra β α feruntur, sint $\beta\eta$ $\alpha\vartheta$. Et quia β posterius quam α occidit[1]), astrum igitur β, cum α ad occasum venerit, super terram erit. Sed astro α occidente astrum γ oritur[2]), et circulus zodiacus positionem habebit velut $\zeta\varkappa\nu\vartheta$, et semicirculus $\alpha\varepsilon\gamma$ iam erit $\vartheta\nu\varkappa$, atque is quidem super terram, arcus autem $\alpha\varepsilon$ iam erit $\vartheta\nu$; ergo astro γ oriente astrum β *adhuc* super terram est[3]); itaque astrum *aliquod*, quod eodem quo β occidit tempore oritur, est in semicirculo $\varkappa\zeta\vartheta$. Sit astrum μ[4]); ergo, cum sol est ad μ, astri β est verus occasus matutinus. Sed apparentes *occasus matutini* posteriores sunt quam veri[5]); ergo, postquam sol tantam circumferentiam percurrerit, ut astrum β radios eius effugiat, erit astri β apparens

---

nunc ζ est, ibi olim fuisse ξ, ipsi autem ζ suus locus inter γ et α (ut in prima et ultima huius theorematis figuris) tribuendus esse videtur. Conf. in praefatione adnot. ad p. 66, 12 et infra adnot. ad figuram p. 69.

1) Autol. de sphaera 9 (conf. σχόλιον κδ).
2) Eucl. phaenom. 6.
3) Conf. σχόλιον κς et in appendice 10.
4) Conf. σχόλιον κζ et in appendice 11.
5) Autol. propos. 1 huius.

(κη) διερχέσθω τὴν ΜΟ· ἴση ἄρα ἐστὶν ἡ ΘΝ τῇ ΟΜ· μείζων ἄρα ἐστὶν ἡ ΟΚ τῆς ΘΝ. κοινὴ προσκείσθω ἡ ΚΝ· μείζων ἄρα ἡ ΟΚΝ τῆς ΚΝΘ. ἡμικυκλίου (κθ) δὲ ἡ ΘΝΚ· μείζων ἄρα ἡμικυκλίου ἡ ΝΚΟ: τὶ Β ἄρα ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην 5 (λ) δύσιν ποιεῖται διὰ πλείονος ἡμίσους ἐνιαυτοῦ.

Λέγω δὴ ὅτι τὸ Δ ἄστρον ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην δύσιν ποιεῖται δι' ἐλάττονος ἡμίσους ἐνιαυτοῦ.

Ἐπεὶ γὰρ τὸ Δ τοῦ Α πρότερον δύνει, τοῦ ἄρα Α 10 δύνοντος τὸ Δ ὑπὸ γῆν ἐστιν. ἀλλὰ τοῦ Α δύνοντος τὸ Γ ἀνατέλλει καὶ ὁ τῶν ζῳδίων κύκλος θέσιν ἕξει ὡς τὴν ΗΛΚΜ, ἡ δὲ ΑΕ περιφέρεια θέσιν ὡς τὴν ΗΞ· τοῦ Γ ἄρα ἀνατέλλοντος τὸ Δ ὑπὸ γῆν ἐστιν· τὸ ἄρα συνανατέλλον ἄστρον τοῦ Δ δύνοντος ἐπὶ τῆς ΗΜΚ περι- 15 20



φερείας ἐστίν. ἔστω τὸ Ν· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Ν [καὶ ἀνατέλλοντος] τὸ Δ δύνει, καὶ ἔσται τοῦ Δ ἄστρου ἑῴα ἀληθινὴ δύσις. προτέρα δέ ἐστιν ἡ ἀληθινὴ τῆς φαινομένης· διελθόντος ἄρα τοῦ ἡλίου

(κη) Διὰ τὸ ἐν ἴσῳ χρόνῳ ἐκφεύγειν τὰ ἄστρα τὰς τοῦ 25 ἡλίου αὐγάς.

(κθ) Ὡς ὑπὲρ γῆν ὂν διὰ τὸ τὸ Δ ὑπὸ γῆν εἶναι, οὗ δύνοντος αὐτὸ ἀνατέλλει.

(λ) Τὴν γὰρ ΝΚΟ τοῦ ἡλίου διαπορευομένου τὸ Β ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην δύσιν ποιεῖται, 30 ἥτις μείζων ἐστὶν ἡμίσους ἐνιαυτοῦ, ὡς ἡμίσους ἡμικυκλίου μείζων.

occasus matutinus. Percurrat arcum μo; ergo arcus $\vartheta \nu$ ipsi $o\mu$ aequalis est[1]); itaque arcus $o\varkappa$ maior est quam $\vartheta \nu$. Communis addatur arcus $\varkappa \nu$; ergo arcus $o\varkappa\nu$ maior est quam $\varkappa\nu\vartheta$. Atqui $\vartheta\nu\varkappa$ semicirculus est; ergo arcus $o\varkappa\nu$ maior est semicirculo; itaque astrum β ab ortu matutino apparente occasum matutinum apparentem facit longiore quam dimidii anni tempore intermisso[2]).

Iam dico astrum δ ab ortu matutino apparente occasum matutinum apparentem facere minore quam dimidii anni tempore intermisso.

Quoniam enim astrum δ prius occidit quam α[3]), astro igitur α occidente astrum δ sub terra est. Sed, cum α occidit, γ oritur[4]), et circulus zodiacus positionem habebit velut $\eta\lambda\varkappa\mu$, arcus autem $\alpha\varepsilon$ positionem velut $\eta\xi$; ergo, cum γ oritur, δ *adhuc* sub terra est; itaque astrum *aliquod*, quod eodem quo δ occidit tempore oritur, est in semicirculo $\eta\mu\varkappa$. Sit astrum ν; ergo, cum sol est ad ν [et oritur], δ occidit, eritque is astri δ verus occasus matutinus. Sed verus prior

---

1) Ex constructione scilicet est arcus $\vartheta\nu = \alpha\varepsilon$ (p. 66, 14), et ex hypothesi, postquam sol arcum $\alpha\varepsilon$ percurrit, astrum β solis radios effugit (p. 62, 13—15); ergo propter Autol. de sphaera propos. 2 et Eucl. elem. 3 def. 11 propos. 26 arcus $o\mu$ ipsi $\alpha\varepsilon$ aequalis est. Conf. praeterea $\sigma\chi\acute{o}\lambda\iota o\nu$ $\varkappa\eta$ et in appendice 12.

2) Conf. $\sigma\chi\acute{o}\lambda\iota o\nu$ λ et in appendice 13.

FIGURA similis exstat in codicibus AC, habetque littera ζ eundem locum atque in prima huius theorematis figura (conf. adnot. ad figuram quae antecedit). Nostra coniectura addidimus litteram ϑ et lineam $\delta\vartheta$, omisimus autem parallelam circumferentiam $\varkappa\gamma$ in AC expressam. In codice E pro figura est circulus cum inscriptione $\sigma\chi\tilde{\eta}\mu\alpha$ $\tau\tilde{\omega}$ $\pi\varrho o\tau\acute{\varepsilon}\varrho\omega$ $\pi\alpha\varrho\alpha\pi\lambda\acute{\eta}\sigma\iota o\nu$.

3) Vide supra p. 65 adn. 5.

4) Eucl. phaenom. 6.

περιφέρειάν τινα, ὥστε τὸ Δ ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγάς, ἔσται τοῦ Δ ἡ ἑῴα φαινομένη δύσις. διερχέσθω τὴν ΝΚΟ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΟΚΝ τῇ ΗΞ, ἐλάσσων ἡ ΟΚ τῆς ΗΞ. κοινὴ δὲ προσκείσθω ἡ ΚΞ· ὅλη ἄρα ἡ ΞΚΟ ὅλης τῆς ΗΞΚ ἐλάσσων ἐστίν. 5
(λα) ἡμικυκλίου δὲ ἡ ΚΞΗ· ἡ ΞΚΟ ἄρα ἐλάσσων ἐστὶν ἡμικυκλίου· τὴν ΞΚΟ ἄρα περιφέρειαν διαπορεύεται ὁ ἥλιος ἐν ἐλάσσονι χρόνῳ ἡμίσους ἐνιαυτοῦ, ὥστε τὸ Δ ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑῴαν φαινομένην ποιεῖται δύσιν δι' ἐλάττονος χρόνου ἡμίσους ἐνιαυτοῦ. 10

(λβ) ε'. Τῶν ἀπλανῶν ἄστρων ὅσα μέν ἐστιν ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἀπὸ ἑσπερίας φαινομένης ἐπιτολῆς ἑσπερίαν φαινομένην δύσιν ποιεῖται διὰ ἡμίσους ἐνιαυτοῦ, τὰ δὲ πρὸς ἄρκτους διὰ πλείονος, τὰ δὲ πρὸς μεσημβρίαν δι' ἐλάττονος. 15

Ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καὶ ἔστω ὑπὸ γῆν τὸ ΑΕΓ ἡμικύκλιον, καὶ τοῦ ἡλίου δύνοντος κατά τι Γ ἄστρα τινὰ τῶν ἀπλανῶν ἀνατελλέτω τὰ Β Α Δ, τὸ μὲν Α ἐπὶ τοῦ ζῳδιακοῦ, τὸ δὲ Β πρὸς ἄρκτους, τὸ δὲ Δ πρὸς μεσημβρίαν· λέγω ὅτι τῷ μὲν Α ἄστρῳ ἀπὸ ἑσπερίας φαινομένης ἐπιτολῆς ἑσπερία φαινομένη δύσις γίγνεται διὰ 20 25



(λα) Δείκνυται δέ, κἂν τὴν ἀπόστασιν τοῦ ἡλίου τὴν μεταξὺ τῆς ΝΚ ποιησώμεθα [ἡ ἀπὸ τοῦ Ν ἕως τοῦ Κ]· κοινῆς γὰρ προστιθεμένης τῆς ΞΝ πάντως ἐλάττων ἡμικυκλίου δείκνυται.

(λβ) Καὶ τοῦτο σαφέστερον νοεῖται, ἂν ὁμοίως τῷ πρὸ αὐτοῦ καταγράψαντες ἀκολουθήσωμεν. 30

est quam apparens[1]); ergo, postquam sol tantam circumferentiam percurrerit, ut astrum δ radios eius effugiat, erit astri δ apparens occasus matutinus. Percurrat arcum νκο. Et quia arcus νκο ipsi ηξ aequalis est[2]), arcus *igitur* οκ minor quam ηξ. Communis addatur arcus κξ; ergo totus ξκο minor est toto ηξκ. Atqui κξη semicirculus est; ergo arcus ξκο minor est semicirculo[3]); itaque sol arcum ξκο minore quam dimidii anni tempore percurrit, ita ut astrum δ ab ortu matutino apparente occasum matutinum apparentem faciat minore quam dimidii anni tempore intermisso.

V. Astrorum fixorum ea quae sunt in circulo zodiaco ab ortu vespertino apparente occasum vespertinum apparentem faciunt post dimidium annum, ea autem quae sunt ad septentriones intermisso maiore, ea denique quae sunt ad meridiem minore *temporis spatio.* Prop. 5

Sit in mundo circulus horizon αβγδ, solis autem circulus positionem habeat velut αεγζ, et sit semicirculus αεγ sub terra, et, cum sol in puncto γ occidit, astra quaedam fixa β α δ oriantur, et quidem α in zodiaco, β ad septentriones, δ ad meridiem; dico astri α ab ortu vespertino apparente occasum vespertinum apparentem fieri post dimidium annum, astri

---

1) Autol. propos. 1 huius.

2) Demonstratio similis est ei quam supra ad p. 69 adnotavimus.

3) Conf. σχόλιον λα et in appendice 14.

PROPOS. 5: conf. σχόλιον λβ.

FIGURA similis exstat in codicibus ACE.

ἡμίσους ἐνιαυτοῦ, τῷ δὲ Β διὰ πλείονος, τῷ δὲ Δ δι' ἐλάττονος.

Ἐπεὶ γὰρ τοῦ ἡλίου δύνοντος κατὰ τὸ Γ ἄστρα τινὰ τῶν ἀπλανῶν ἀνατέλλει τὰ Β Α Δ, τῶν ἄρα Β Α Δ ἄστρων ἐστὶν ἡ ἑσπερία ἀληθινὴ ἐπιτολή. προτέρα δέ ἐστιν ἡ φαινομένη τῆς ἀληθινῆς. ἔστωσαν οὖν τῶν Β Α Δ ἑσπέριαι φαινόμεναι ἐπιτολαὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε. πάλιν ἐπεὶ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἄστρα κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Γ ἄρα ἀνατέλλοντος τὸ κατὰ διάμετρον αὐτῷ τὸ Α δύνει, ὥστε τοῦ Γ ἀνατέλλοντος ὁ ἥλιος ὢν πρὸς τῷ Α δύσεται. καὶ συνδύσεται τῷ ἡλίῳ τὸ Α ἄστρον, καὶ ἔσται τοῦ Α ἄστρου ἡ ἑσπερία ἀληθινὴ δύσις. προτέρα δέ ἐστιν ἡ φαινομένη τῆς ἀληθινῆς. ἔστω οὖν τοῦ Α ἡ φαινομένη ἑσπερία δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ· ἴση ἄρα ἐστὶν ἡ ΓΕ περιφέρεια τῇ ΑΖ περιφερείᾳ. καὶ ἔσται κατὰ τὰ αὐτὰ τῷ Α ἄστρῳ ἀπὸ ἑσπερίας φαινομένης ἐπιτολῆς ἑσπερία φαινομένη δύσις διὰ ἡμίσους ἐνιαυτοῦ. καὶ φανερὸν ὅτι τῷ μὲν Β διὰ πλείονος, τῷ δὲ Δ δι' ἐλάττονος.



ϛ'. Ἕκαστον τῶν ἀπλανῶν ἄστρων τῶν ἀνατολὰς
(λγ) καὶ δύσεις ποιουμένων συνανατέλλει τῷ ἡλίῳ δι' ἐνιαυτοῦ ἔγγιστα τὴν ἀληθινὴν ἑῴαν ἐπιτολὴν ποιούμενον, ὁμοίως δὲ καὶ συνδύνει.

(λγ) Ἵνα ὑπεξέλῃ τὰ ἀεὶ φανερὰ καὶ τὰ ἀεὶ ἀφανῆ.

FIGURAM coniectura nostra supplevimus.

autem β intermisso maiore, denique astri δ minore *temporis spatio.*

Quoniam enim, cum sol in γ occidit, astra quaedam fixa β α δ oriuntur, astrorum igitur β α δ est verus ortus vespertinus (*def. 4*). Sed apparens *ortus vespertinus* prior est quam verus[1]). Sint igitur astrorum β α δ apparentes ortus vespertini eo tempore, quo sol est ad ε. Rursus quia in circulo zodiaco astra iuxta diametrum opposita coniugate et oriuntur et occidunt[2]), astro igitur γ oriente astrum α ei oppositum occidit; itaque, cum γ orietur, sol, qui erit ad α, occidet. Et simul cum sole astrum α occidet, eritque astri α verus occasus vespertinus. Sed apparens *occasus vespertinus* prior est quam verus[1]). Iam sit astri α apparens occasus vespertinus eo tempore, quo sol est ad ζ; ergo arcus $\gamma\varepsilon$ ipsi $\alpha\zeta$ aequalis est. Et similiter *ac supra* (*propos. 4*) *demonstrabitur* astri α ab ortu apparente vespertino occasum apparentem vespertinum fieri post dimidium annum. Et apparet astri β intermisso longiore, astri autem δ minore *tempore quam dimidii anni occasum vespertinum apparentem fieri.*

VI. Unumquodque astrorum fixorum, quae ortus et occasus faciunt, intermisso fere annuo spatio[3]) simul cum sole oritur verum ortum matutinum faciens, ac similiter simul occidit. Prop. 6

1) Autol. propos. 1 huius.
2) Eucl. phaenom. 6.
3) Graeca *δι' ἐνιαυτοῦ ἔγγιστα* Auria vertit *quasi toto anno*; sed eum nihil aliud voluisse quam quod supra expressum est docet scholium 15 infra a nobis repetitum. Ac paulo post in demonstratione *δι' ἐνιαυτοῦ* (p. 74, 20) idem interpretatur *per annum.*

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καὶ τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α ἄστρον τι τῶν ἀπλανῶν συνανατελλέτω τὸ Δ· τοῦ ἄρα Δ ἄστρου ἐστὶν ἡ ἀληθινὴ ἑῴα ἐπιτολή. λέγω δὴ ὅτι τὸ Δ ἄστρον δι' ἐνιαυτοῦ ἔγγιστα συνανατέλλει τῷ ἡλίῳ.



Εἰ μὲν οὖν ὁ ἥλιος ἀνατείλας κατὰ τὸ Α ἐν ὅλαις περιφοραῖς τὸν ΑΕΓΖ κύκλον διαπορεύεται, δῆλον ὡς τὸ Δ ἄστρον συνανατέλλει τῷ ἡλίῳ δι' ἐνιαυτοῦ. ἐπεὶ δὲ ἐλλείπει ἐφ' ὅλαις περιφοραῖς καὶ μόριόν τι περιφορᾶς, μικρά τις ἂν γένοιτο παραλλαγὴ τοῦ μὴ οὐχὶ τὸ Δ ἄστρον συνανατεῖλαι τῷ ἡλίῳ· τετήρηται γὰρ ἕκαστον τῶν ἀπλανῶν ἄστρων διὰ δεκαπέντε περιφορῶν ἐκφεῦγον τοῦ ἡλίου τὰς αὐγάς, ὁ δὲ ἐνιαυτὸς
(λδ) γίγνεται τῷ ἡλίῳ ἐξ ὅλων περιφορῶν καὶ τετάρτου· ἔγγιστα ἄρα ἔσται ἡ τοῦ Δ ἄστρου ἑῴα ἀληθινὴ ἐπιτολὴ δι' ἐνιαυτοῦ, ὥστε ἕκαστον τῶν ἀπλανῶν ἄστρων τῶν ἐπιτολάς τε καὶ δύσεις ποιουμένων συνανατέλλει τῷ ἡλίῳ δι' ἐνιαυτοῦ ἔγγιστα τὴν ἀληθινὴν ἑῴαν ἐπιτολὴν ποιούμενον. ὁμοίως δὲ δειχθήσεται ὅτι καὶ συνδύνει.

ζ'. Ἕκαστον τῶν ἀπλανῶν ἄστρων ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑσπερίαν ἀληθινὴν ἐπιτολὴν ποιεῖται

(λδ) Διὰ τὸ τξε' νυχθημέρων εἶναι τὸν ἐνιαυτὸν καὶ τετάρτου· τὸ οὖν ἐλλεῖπον τὸ δ' ἐστι, παρ' ὃ συνανατέλλει αὐτῷ τὸ ἄστρον.

FIGURA similis exstat in codicibus AC. In E intra circulum adnotatum est σχῆμα τὸ αὐτὸ (scilicet illud quod nos p. 70 edidimus).

Sit in mundo horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et, cum sol in α oritur, astrum aliquod fixum δ simul oriatur; ergo astri δ est verus ortus matutinus (*def. 2*); iam dico astrum δ intermisso fere annuo spatio simul cum sole oriri.

Enimvero si sol, postquam in α ortus est, per totas conversiones circulum $\alpha\varepsilon\gamma\zeta$ percurrit, astrum δ annuo spatio intermisso simul cum sole oriri apparet. Sed quia de totis conversionibus deest etiam pars quaedam conversionis[1]), parvum quiddam interest, ne astrum δ simul cum sole oriatur. Nam observatum est unumquodque astrorum fixorum intra quindecim solis conversiones radios eius effugere[2]), annus autem solaris fit ex totis conversionibus et quarta *insuper conversionis* parte[3]); proxime igitur astri δ verus ortus matutinus redibit intermisso annuo spatio; itaque unumquodque astrorum fixorum, quae et ortus et occasus faciunt, intermisso fere annuo spatio simul cum sole oritur verum ortum matutinum faciens. Ac similiter de occasu idem demonstrabimus.

VII. Unumquodque astrum fixum ab ortu vero matutino vespertinum ortum verum, itemque ab occasu Prop. 7

1) Totum conversionum numerum CCCLXVI scriptor hoc loco intellegere videtur, quem numerum ne compleat sol, desunt tres fere quartae partes unius conversionis. Paulo aliter eandem rem in proximis significat, quae scholio 16 explicantur.

2) Conf. infra libri 2 propos. 6. Auria in margine p. 17 adnotat *Scilicit 15 gradibus*; quid tamen intersit, facile intellegitur, nam anni dies sunt 365 (et exsuperans quiddam), gradus autem 360, quo de discrimine etiam Graecus scriptor tacet.

3) Conf. *σχόλιον λδ* et in appendice 16. Numerus CCCLXV dierum et quartae diei partis computatur in demonstratione decimi theorematis Theodosii de habitationibus.

διὰ ἡμίσους ἐνιαυτοῦ ἔγγιστα, καὶ ἀπὸ ἑσπερίας ἀληθινῆς δύσεως ἑῴαν ἀληθινὴν δύσιν.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καί, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρον τι τῶν ἀπλανῶν ἀνατελλέτω τὸ Δ· τῷ ἄρα Δ ἄστρῳ ἀληθινή ἐστιν ἑῴα ἐπιτολή· λέγω ὅτι τοῦ Δ ἄστρου ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑσπερία ἀληθινὴ ἐπιτολὴ γίγνεται διὰ ἡμίσους ἐνιαυτοῦ ἔγγιστα.

(λε) Εἰ μὲν οὖν ὁ ἥλιος τὴν ΑΕΓ περιφέρειαν διέρχεται ἐν ὅλαις ἡμέραις, δῆλον ὡς δύσεται κατὰ τὸ Γ, καὶ ἔσται τοῦ Δ ἄστρου ἡ ἑσπερία ἀληθινὴ ἐπιτολὴ διὰ ἡμίσους ἐνιαυτοῦ. εἰ δὲ μὴ διέρχεται τὴν ΑΕΓ περιφέρειαν ἐν ὅλαις ἡμέραις, μικρά τις ἂν γένοιτο παραλλαγὴ τοῦ μὴ οὐχὶ συνδῦναι τὸν ἥλιον τῷ Δ ἄστρῳ, ὥστε τῷ Δ ἄστρῳ ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑσπερία ἀληθινὴ γίγνεται ἀνατολὴ διὰ ἡμίσους ἐνιαυτοῦ ἔγγιστα.

Ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἀπὸ ἑσπερίας ἀληθινῆς δύσεως ἑῴαν ἀληθινὴν δύσιν ποιεῖται διὰ ἡμίσους ἐνιαυτοῦ ⟨ἔγγιστα⟩.

η΄. Ὅσα τῶν ἄστρων ἐστὶν ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου, ἐκεῖνα μετὰ τὴν ἐσχάτην ἑσπερίαν φάσιν τὴν ἑῴαν πρώτην φάσιν ποιεῖται ἀφανισθέντα ἡμέρας τινὰς καὶ νύκτας.

(λε) Οὐ διέρχεται δέ, ἐπειδή, εἰ ἐν τξε΄ περιφοραῖς μόνον διήει τὸν ἐνιαυτόν, τὸ ἥμισυ τοῦ κύκλου ἐν τῷ ἡμίσει τοῦ ἐνιαυτοῦ διιὼν πάντως ἂν ἔδυνε κατὰ τὸ Γ. ἐπειδὴ δὲ ἐν τξε΄ περιφοραῖς οὐ τὸν πάντα κύκλον δίεισιν, ἀλλὰ τὸν παρὰ τέταρτον, δῆλον ὅτι πρὸ τοῦ Γ που δύσεται, διὰ τὸ τὸ ἥμισυ τῶν τξε΄ πρὸ τοῦ Γ που πίπτειν.

vero vespertino matutinum occasum verum intermisso dimidio fere anno facit.

Sit in mundo horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et, cum sol in α oritur, astrum aliquod fixum δ *simul* oriatur; ergo astri δ est verus ortus matutinus (*def. 2*); dico astri δ ab ortu vero matutino vespertinum ortum verum fieri dimidio fere anno intermisso.



Enimvero si sol semicirculum $\alpha\varepsilon\gamma$ per totos dies percurrit, apparet eundem in γ occasurum esse[1]), eritque astri δ vespertinus ortus verus intermisso dimidio anno. At si non per totos dies semicirculum $\alpha\varepsilon\gamma$ percurrit, parvum quiddam interest, ne sol simul cum astro δ occidat; itaque astri δ ab ortu vero matutino vespertinus ortus verus fit fere dimidio anno intermisso.

Ac similiter demonstrabimus astrum δ etiam ab occasu vero vespertino matutinum occasum verum facere intermisso fere dimidio anno.

VIII. Quaecunque astra in zodiaco circulo sunt, ea post ultimum conspectum[2]) vespertinum praebent primum conspectum matutinum, postquam per aliquot dies et noctes latuerunt. Prop. 8

FIGURA non differt a superiore (p. 74). In codicibus AC eaedem lineae et litterae repetitae sunt, in E intra circulum adnotatum est *τὸ αὐτὸ σχῆμα*.

1) Conf. *σχόλιον λε* et in appendice 17.

PROPOS. 8: conf. infra libri 2 propos. 6 et in appendice scholium 18 cum nostra adnotatione.

2) Graecum *φάσιν* Auria *apparitionem* vertit.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓ, καὶ ὁ ἥλιος πορευέσθω ὡς ἐπὶ τὰ Γ Ε Α μέρη, ἄστρον δέ τι τῶν ἀπλανῶν ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἔστω τὸ Ε, καὶ τὸ Ε



(λς) ἄστρον ἐσχάτως μὲν περικαταλαμβανέσθω ὑπὸ τῶν τοῦ ἡλίου αὐγῶν τοῦ ἡλίου ὄντος πρὸς τῷ
(λζ) Ζ, πρώτως δὲ ἐκφευγέτω τὰς τοῦ ἡλίου αὐγὰς τοῦ ἡλίου ὄντος πρὸς τῷ Η, τουτέστιν ἔστω τοῦ Ε ἄστρου ἡ μὲν ἐσχάτη ἑσπερία φάσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ, ἡ δὲ ἑῴα πρώτη φάσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Η· λέγω ὅτι τοῦ ἡλίου διαπορευομένου τὴν ΖΗ περιφέρειαν τὸ Ε ἄστρον οὐ φαίνεται.

Ἔστω γὰρ ὁ ἥλιος πρὸς τῷ Θ· τοῦ ἄρα ἡλίου
(λη) ὄντος πρὸς τῷ Θ τὸ Ε ἄστρον οὐ φαίνεται ἀνατέλλον· προανατέλλει γὰρ αὐτοῦ τὸ Θ, τουτέστιν ὁ ἥλιος.
(λθ) ἀλλ' οὐδὲ δῦνον ὁραθήσεται, ἐπειδήπερ τοῦ Ε ἄστρου ἐστὶν ἡ ἐσχάτη ἑσπερία φάσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Θ τὸ Ε ἄστρον οὐ φαίνεται.

(λς) Τουτέστιν ἐσχάτως φαινέσθω δῦνον.

(λζ) Τουτέστι, πρὶν ἐγγίσει αὐτῷ ὁ ἥλιος, φαινέσθω ἀνατέλλον, ἀπέχοντος ιε' μοίρας.

(λη) Ἐφάνη γὰρ ἀνατέλλον πρὶν ἀνατεῖλαι τὸν ἥλιον.

(λθ) Εἰ γὰρ πρὸς τῷ Ζ ὄντος τοῦ ἡλίου ἐφαίνετο, δῆλον ὅτι ἐγγυτέρω ὄντος [τοῦ Ε] οὐ φαίνεται τὸ Ε δῦνον.

FIGURAM descripsimus ad similitudinem eius quae exstat in codicibus ACE, nisi quod ibi litterae ζ ϑ ε κ η latius inter se distant ac paene totum semicirculum obtinent. Graecus

Sit in mundo horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma$, et sol currat a γ per ε ad α[1]), astrum autem aliquod fixum in circulo zodiaco sit ε, idque postremo solis radiis occupetur[2]), cum sol est ad ζ, primo autem solis radios effugiat[3]), cum sol est ad η, id est astri ε sit ultimus vespertinus conspectus, cum sol est ad ζ, primus autem matutinus conspectus, cum sol est ad η[4]); dico, dum sol arcum $\zeta\eta$ percurrit, astrum ε non conspici.

Sit enim sol ad ϑ *punctum inter* ζ *et* ε *situm*; ergo, cum sol est ad ϑ, astrum ε non conspicitur oriens[5]); nam antea astrum ϑ, id est sol, oritur. At idem ne occidens quidem conspicietur[6]), quoniam *ex hypothesi* astri ε est ultimus vespertinus conspectus, cum sol est ad ζ; ergo, cum sol est ad ϑ, astrum ε non conspicitur.

---

scriptor supponit arcum $\zeta\varepsilon\eta$ a sole percurri duodecima parte annui cursus, id est diebus triginta.

1) 'Sol quidem iter faciat, verbi gratia, ad partes C, E, A' (*id est* γ ε α) vertit Auria, ac posthac similiter.

2) Scilicet postremo occidere videatur. AURIA in marg. p. 20 (conf. *σχόλ.* $\lambda\varsigma$). Vide tamen in appendice adnotationem ad schol. 18.

3) Scilicet ante appareat oriri, quam sol ipsi appropinquaverit, distante tantum sole grad. 15 ab eo. IDEM (conf. *σχόλιον* $\lambda\zeta$).

4) Ad hunc locum apposuit Auria scholium, quod in appendice nostra est undevicesimum, expressum e Graeco $\mu\gamma$. Sed hoc quidem in codice C adscriptum est ad finem huius propositionis (p. 80, 11), ac similiter brevius illud scholium quod est in E.

5) Apparebit siquidem oriri ante solis exortum. AURIA in marg. p. 20 (conf. *σχόλιον* $\lambda\eta$).

6) Si enim manente sole in ζ puncto apparet, patet quod, accedente propius, astrum ε occidere non videtur. AURIA in marg. p. 20 (conf. *σχόλιον* $\lambda\vartheta$).

Ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ τοῦ ἡλίου τὴν ΖΕ
(μ) περιφέρειαν διαπορευομένου τὸ Ε ἄστρον οὐ φαίνεται.
Λέγω δὴ ὅτι οὐδὲ τὴν ΕΗ.

Ἔστω γὰρ πάλιν πρὸς τῷ Κ ὁ ἥλιος· τοῦ ἄρα
(μα) ἡλίου ὄντος πρὸς τῷ Κ τὸ Ε ἄστρον οὐ φαίνεται 5
δῦνον· προδύνει γὰρ τὸ Ε τοῦ Κ, τουτέστιν τοῦ ἡλίου.
οὐδὲ μὴν ἀνατέλλον ὁρᾶται, ἐπειδήπερ τοῦ Ε ἄστρου
ἐστὶν ἡ ἑῴα πρώτη φάσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Η·
(μβ) τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Κ τὸ Ε ἄστρον οὐ
φαίνεται. 10

(μγ) Ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ τοῦ ἡλίου τὴν ΕΗ
διαπορευομένου τὸ Ε ἄστρον φαίνεται. ἐδείχθη δὲ ὅτι
οὐδὲ τὴν ΖΕ· ὅλην ἄρα τοῦ ἡλίου τὴν ΖΕΗ περι-
φέρειαν διαπορευομένου τὸ Ε ἄστρον οὐ φαίνεται.

θ'. Τὰ πρὸς μεσημβρίαν ἄστρα μᾶλλον τῶν ἐπὶ 15
τοῦ τῶν ζῳδίων κύκλου ἀπὸ ἑσχάτης ἑσπερίας φάσεως
ἑῴαν φάσιν ποιεῖται πρώτην πλείονας ἡμέρας ἀφανι-
σθέντα ἤπερ τὰ ἐπὶ τοῖ τῶν ζῳδίων κύκλου.

(μ) Τουτέστι μεταξὺ τῆς ΖΕ περιφερείας λαμβάνοντες σημεῖον καὶ ὁμοίως δεικνύντες. 20

(μα) Ὤφειλεν δὲ μετὰ τὸ τὸν ἥλιον δῦναι φανῆναι δῦνον ἑσχάτως.

(μβ) Εἰ γὰρ ἀπωτέρω ὄντος τοῦ ἡλίου ἐφαίνετο ἀνατέλλον, δῆλον ὅτι ἐγγύτερον ὄντος οὐ φαίνεται.

(μγ) Τουτέστι μετὰ μὲν τὸ δῦναι τὸν ἥλιον, πρὸς τῷ Ζ 25
ὄντος αὐτοῦ, ἐσχάτως φαινέσθω δῦνον τὸ Ε, καὶ πάλιν πρὶν ἀνατεῖλαι αὐτόν, πρὸς τῷ Η ὄντος αὐτοῦ, πρώτως φαινέσθω ἀνατέλλον· μηδέπω μὲν γὰρ φθάσαντος αὐτὸ τοῦ ἡλίου, ἀλλ' ἀπέχοντος μοίρας ιε', μετὰ τὸ δῦναι αὐτόν, ἐσχάτως φαίνεται. εἶτα ἐπικαταλαβόντος αὐτὸ τοῦ ἡλίου ἀφανισθέν, προκόπτοντος 30 τοῦ ἡλίου τὴν ἐναντίαν τῷ παντὶ μὴ φαινόμενον. πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀποστάντος αὐτοῦ πρώτως φαίνεται πρὶν ἀνατεῖλαι τὸν ἥλιον. εἰκότως οὖν πρώτως ἔσται ἡ ἑσπερία ἐπιτολὴ φαινομένη ἑσχάτη, εἶτα ἡ ἑῴα πρώτη ἐπιτολή, ὅτι ἀπὸ ἑσπερίας ἑῴαν ποιεῖται νῦν. 35

Iam similiter demonstrabimus, *quocunque alio in puncto inter* ζ *et* ε *sito sol consistit*[1]), *id est* quoad sol arcum ζε percurrit, astrum ε non conspici.

Iam dico ne *eo* quidem *tempore, quo sol* arcum εη *percurrit, astrum* ε *conspici.*

Sit enim rursus sol ad κ *punctum inter* ε *et* η *situm*; ergo cum sol est ad κ, astrum ε occidens non conspicitur, quoniam id prius occidit quam κ, id est quam sol. Neque vero oriens conspicitur, quoniam *ex hypothesi* astri ε est primus matutinus conspectus, cum sol est ad η; ergo, cum sol est ad κ, astrum ε non conspicitur[2]).



Iam similiter demonstrabimus, *quocunque alio in puncto inter* ε *et* η *sito sol consistit, id est* quoad sol arcum εη percurrit, astrum ε non conspici. Sed demonstratum est ne *eo* quidem *tempore, quo* arcum ζε; ergo, dum sol *totum* arcum ζεη percurrit, astrum ε non conspicitur.

IX. Astra, quae propius ad meridiem sunt quam illa quae sunt in circulo zodiaco, ab ultimo vespertino conspectu primum matutinum conspectum praebent, postquam per plures dies latuerunt quam astra quae sunt in circulo zodiaco[3]). Prop. 9

1) Conf. σχόλιον μ, quod Auria l. c. sic expressit: Scilicet inter circumferentiam GE (*id est* ϑε, *at debebat ponere FE, id* est ζε) punctum aliquod sumentes, idem ostendetur.

2) Nam si longius sole manente oriri videtur, patet quod propius existente non apparet. IDEM (conf. σχόλιον μβ).

3) Vide scholium 1. in 8. huius (*id est in appendice huius editionis schol. 18*) et X prop. huius. AURIA in marg. p. 21.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, μέγιστος δὲ τῶν αἰεὶ φανερῶν ὁ ΑΔΕ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΒΖΓ, ἄστρον δὲ τῶν ἀπλανῶν ἔστω τὸ Η μᾶλλον τοῦ τῶν ζῳδίων κύκλου πρὸς μεσημβρίαν· λέγω ὅτι τὸ Η ἄστρον ἀπὸ ἑσπερίας ἐσχάτης φάσεως ἑῴαν πρώτην φάσιν ποιεῖται ἀφανισθὲν πλείονας ἡμέρας ἤπερ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου.

Γεγράφθω γὰρ διὰ τοῦ Η μέγιστος κύκλος ἐφαπτόμενος τοῦ ΑΔΕ ο ΛΗΔΜ, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Δ Η μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Α Μ Β μέρη, ἄστρον δέ τι ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἔστω τὸ Ζ, καὶ τὸ
(μδ) Ζ ἄστρον ἐσχάτως μὲν περικαταλαμβανέσθω ὑπὸ τῶν τοῦ ἡλίου αὐγῶν, τοῦ ἡλίου ὄντος πρὸς τῷ Θ, ἐκφευγέτω δὲ τὰς τοῦ ἡλίου αὐγὰς πρώτως τοῦ ἡλίου ὄντος πρὸς τῷ Κ· τοῦ ἄρα ἡλίου διαπορευομένου τὴν
(με) ΘΚ περιφέρειαν τὸ Ζ ἄστρον οὐ φαίνεται. καὶ ἐπεὶ
(μς) τὰ Ζ Η ἄστρα ὁμοῦ δύνει (ἀσύμπτωτον γάρ ἐστιν τὸ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Δ Η μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Α Β μέρη), τὰ Ζ Η ἄρα ἅμα ἐμπίπτει εἰς τὰς τοῦ ἡλίου αὐγάς. καὶ ἔστι τοῦ Ζ ἄστρου ἡ ἐσχάτη ἑσπερία φάσις τοῦ ἡλίου ὄντος

(μδ) Τουτέστιν ἑσπερίαν ἐσχάτην ἐπιτολὴν ποιείσθω τὸ Ζ τοῦ ἡλίου ὄντος πρὸς τῷ Θ, ἑῴαν δὲ πρώτην ἐπιτολὴν ποιείσθω τοῦ ἡλίου ὄντος πρὸς τῷ Κ.

(με) Διὰ τοῦ η΄.

(μς) Ἐὰν γὰρ διὰ τῶν Ζ Η παραλλήλους κύκλους νοήσωμεν, ἔσονται ἀπὸ τῶν Ζ Η ὡς ἐπὶ τὰ Α Μ Β μέρη περιφέρειαι μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων, καὶ ὅμοιαι ἔσονται. καὶ διὰ τοῦτο ἐν τῷ αὐτῷ χρόνῳ τὰ Ζ Η δύσεται· τὰς γὰρ ὁμοίας ἐν ἴσῳ χρόνῳ διέρχεται.

FIGURA similis exstat in codicibus ACE, nisi quod ibi litterae θ ζ κ latius inter se distant ac paene totum βγ semicirculum obtinent.

Sit in mundo horizon $\alpha\beta\gamma$, maximus autem *circulus* eorum qui semper apparent $\alpha\delta\varepsilon$, solis autem circulus positionem habeat velut $\beta\zeta\gamma$, astrum autem aliquod fixum η sit propius ad meridiem quam circulus zodiacus; dico astrum η ab ultimo vespertino conspectu primum matutinum conspectum praebere, postquam per plures dies latuit quam astra quae sunt in circulo zodiaco.



Describatur enim per η maximus circulus $\lambda\eta\delta\mu$, qui circulum $\alpha\delta\varepsilon$ tangat[1]) ita, ut ne semicirculus, qui a δ versus η tendit, congruat cum eo, qui ab α versus μ β, astrum autem aliquod in circulo zodiaco sit ζ, idque postremo solis radiis occupetur, cum sol est ad ϑ, primo autem solis radios effugiat, cum sol est ad $\varkappa$[2]); ergo, dum sol arcum $\vartheta\varkappa$ percurrit, astrum ζ non apparet[3]). Et quia astra ζ η simul occidunt — nam semicirculus, qui a δ versus η tendit, non concurrit cum eo, qui ab α versus β[4]) — astra igitur ζ η simul in solis radios incidunt. Et *ex hypothesi* est astri ζ ultimus vespertinus conspectus, cum sol est

1) Theodos. sphaer. 1, 20.

2) Conf. σχόλιον μϑ et in appendice 20.

3) Autol. propos. 8 huius, ut est in Graeco scholio με. In codice Vaticano latere videtur scholium διὰ τὸ ϑ′ (v. praefat. ad p. 82, 16), quod si ad hunc locum pertinet, corrigendum est διὰ τὸ η′.

4) Ex hypothesi. Praeterea conf. σχόλ. μς et in appendice 21.

πρὸς τῷ Θ· καὶ τοῦ Η ἄρα ἄστρου ἐσχάτη ἑσπερία φάσις ἐστὶν τοῦ ἡλίου ὄντος πρὸς τῷ Θ. πάλιν ἐπεὶ
(μζ) τὰ Ζ Η ὁμοῦ δύνει, καὶ οὐχ ὁμοῦ ἀνατέλλει, ἀλλὰ πρότερον τὸ Ζ τοῦ Η, δῆλον ὡς καὶ πρότερον ἐκφεύγει τὰς τοῦ ἡλίου αὐγὰς τὸ Ζ: καὶ ἔστι τοῦ Ζ ἄστρου ἡ ἑῴα πρώτη φάσις τοῦ ἡλίου ὄντος πρὸς
(μη) τῷ Κ· τοῦ ἄρα ἡλίου ὄντος πρὸς τῷ Κ τὸ Η ἄστρον οὔπως ἐκφεύγει τὰς τοῦ ἡλίου αὐγάς· τὸ Η ἄρα ἄστρον ἀπὸ ἐσχάτης ἑσπερίας φάσεως ἑῴαν πρώτην φάσιν ποιεῖται πλείονας ἡμέρας ἀφανισθὲν ἤπερ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου.

ι΄. Τῶν ἀπλανῶν ἄστρων τῶν ἀνατολάς τε καὶ δύσεις ποιουμένων τῶν πρὸς ἄρκτους ὄντων μᾶλλον τοῦ τῶν ζῳδίων κύκλου τινὰ ἑκάστης νυκτὸς ὁρᾶται.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, μέγιστος δὲ τῶν αἰεὶ φανερῶν ὁ ΑΔΕ, ζῳδιακὸς δὲ ὁ ΒΖΓ, καὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ ἄστρα τινὰ ἔστω τὰ Η Θ,
(μθ) ὥστε τὸ μὲν Η ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγὰς πρώ-
(ν) τως, τὸ δὲ Θ περικαταλαμβάνεσθαι ἐσχάτως [τουτέστιν

(μζ) Διὰ τοῦ θ' τοῦ περὶ κινουμένης σφαίρας.

(μη) Εἰ γὰρ τὸ Ζ ἐξέφευγε τὰς τοῦ ἡλίου αὐγάς, ὄπισθεν δέ ἐστι τοῦ Ζ τὸ Η, δῆλον ὅτι τοῦ ἡλίου ἐγγύς ἐστιν οὔπω φυγὸν τὰς αὐγάς. μεθ' ἡμέρας τινὰς ἄρα φεύξεται· διὸ ἐν πλείονι χρόνῳ ἐστὶν ἀφανὲς ἤπερ τὸ Ζ.

(μθ) Γίνεται δὲ φανερόν, ἐὰν διὰ τῶν Η Ε παραλλήλους γράψωμεν, καὶ διὰ τῶν Θ Δ, καθ' ὧν φέρεται τὰ σημεῖα.

(ν) Τοῦ ἡλίου ἀπὸ τοῦ Β, τουτέστιν ἀπὸ δυσμῶν, διαπορευομένου, ὅτε ἦν μετὰ τοῦ Η, ἑῴας οὔσης ἀληθινῆς ἐπιτολῆς. μετακινηθέντος δὲ καὶ ἀποστάντος ιε' μοίρας ἐφάνη, τοῦ ἡλίου ἀπὸ τοῦ Γ ὄντος (τουτέστιν ὑπὸ γῆν), πρώτως ἀνατέλλον· διό ἐστι τὸ Η ἡ ἑῴα φαινομένη ἐπιτολή.

---

1) Autol. de sphaer. 9 (conf. σχόλιον μζ).
2) Conf. σχόλιον μη et in appendice 22.

ad ϑ; ergo etiam astri η est ultimus vespertinus conspectus, cum sol est ad ϑ. Rursus quia astra ζ η simul occidunt, neque vero simul oriuntur, sed ζ prius quam η[1]), apparet ζ prius radios solis effugere. Et *ex hypothesi* astri ζ est primus matutinus conspectus, cum sol est ad $\varkappa$; ergo, cum sol est ad $\varkappa$, astrum η nondum effugit radios solis[2]); itaque astrum η ab ultimo vespertino conspectu primum matutinum conspectum praebet, postquam per plures dies latuit quam astra quae sunt in circulo zodiaco.

Prop. 10

X. Ex astris fixis, quae ortus occasusque faciunt ac propius quam circulus zodiacus ad septentriones sunt, quaedam omnibus noctibus conspiciuntur.

Sit in mundo horizon $\alpha\beta\gamma$, maximus autem *circulus* eorum qui semper apparent $\alpha\delta\varepsilon$, zodiacus autem $\beta\zeta\gamma$, et cum sol est ad ζ, astra quaedam η ϑ *ita posita* sint, ut η solis radios primo effugiat, ϑ autem *iisdem* postremo





FIGURAM nostra coniectura descripsimus: in codicibus ACE hae fere lineae et litterae exstant:

(να) ἵν' ᾖ τοῦ μὲν Η ἡ ἑῴα φαινομένη ἐπιτολή, τοῦ δὲ Θ ἡ ἑσπερία φαινομένη δύσις], καὶ διὰ τῶν Η Θ μέγιστοι κύκλοι γεγράφθωσαν ἐφαπτόμενοι τοῦ ΑΔΕ κύκλου οἱ ΛΗΚΕ ΜΘΚΔ, ὥστε τὸ μὲν ΕΗΛ ἡμικύκλιον ἀσύμπτωτον εἶναι τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Γ μέρη, τὸ δὲ ΔΘΜ τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Β μέρη, τουτέστιν τὸ μὲν ΗΕ ἡμικύκλιον ἐφαρμόζειν ἐπὶ τὴν ἀνατολήν, τὸ δὲ ΘΔ ἐπὶ τὴν δύσιν, ἄστρον δέ τι πρὸς ἄρκτον ἔστω τὸ Κ· λέγω δὴ ὅτι τὸ Κ ἄστρον ἑκάστης νυκτὸς ὁρᾶται.

Κείσθω γὰρ τῇ ΖΗ ἴση ἡ ΛΝ, τῇ δὲ ΖΘ ἴση ἡ ΜΞ· ἔσται δὴ καὶ ἡ ΜΞ τῇ ΛΝ ἴση (ἐπεὶ καὶ ἡ ΖΘ τῇ ΖΗ διὰ τὸ ὑποκεῖσθαι τὰ ἄστρα ἐν ἴσῳ χρόνῳ ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγάς). καὶ ἐπεὶ κατὰ διάμετρόν ἐστι τὸ Η τῷ Λ, καὶ ἔστι τοῦ Η ἄστρου ἡ

(να) Ἐν ὅσῳ γὰρ ὁ ἥλιος ἔρχεται ἐπ' αὐτό, ἅμα δύνουσιν· ὥστε εἶναι τοῦ Θ ἑσπερίαν ἀληθινὴν δύσιν· πρὶν ἄρα ἐπ' αὐτὸ ἔλθῃ ἀπέχων αὐτοῦ ιε' μοίρας ὑπὸ γῆν, τοῦ παντὸς ἀγαγόντος αὐτά, ἐσχάτως ἐφαίνετο τὸ Θ δῦνον.

1) Conf. σχόλιον ν et in appendice 23.

2) Conf. σχόλιον να et in appendice 24.

3) In circulorum notis εκηολ δκθπμ ordinem litterarum in codicibus traditum invertimus ac praeterea, ut paulo post semicirculos recte appellare possemus, ο et π addidimus.

4) In codicum scripturis εηλ et paulo pot δθμ litterae λ et μ non recte se habent. Nam cum utique semicirculi ab ε et δ incipientes notandi essent, aut litterae propriae ο et π — id quod nos fecimus — ponendae erant pro λ et μ (hae enim sunt ultra semicirculos ab ε et δ versus κ tendentes), aut scribenda erant τὸ μὲν ἀπὸ τοῦ Ε ἡμικύκλιον ὡς ἐπὶ τὰ Η Λ μέρη et τὸ δὲ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Θ Μ μέρη. Iidem semicirculi paulo post (p. 86, 7. 8) in Graecis codicibus ηε et θδ notati sunt.

5) Partes orientales sint α et γ, occidentales autem α et β. AURIA in marg. p. 24.

occupetur [id est, ut astri η sit ortus matutinus apparens[1]), astri autem ϑ occasus vespertinus apparens[2])], et per η ϑ maximi circuli $\varepsilon\kappa\eta o\lambda$ $\delta\kappa\vartheta\pi\mu$[3]), tangentes circulum $\alpha\delta\varepsilon$, *ita* describantur, ut ne semicirculus $\varepsilon\eta o$[4]) concurrat cum eo qui ab α versus γ tendit, neve semicirculus $\delta\vartheta\pi$ cum eo qui ab α versus β tendit[5]), id est, ut semicirculus $\varepsilon\eta o$ congruat ad ortum, semicirculus autem $\delta\vartheta\pi$ ad occasum, denique astrum aliquod versus septentriones sit $\varkappa$; iam dico astrum $\varkappa$ omnibus noctibus conspici.



Ponatur enim arcus $\lambda\nu$ ipsi $\zeta\eta$, arcus autem $\mu\xi$ ipsi $\zeta\vartheta$ aequalis[6]); erunt igitur etiam $\mu\xi$ $\lambda\nu$ inter se aequales, quoniam item $\zeta\vartheta$ $\zeta\eta$ inter se aequales sunt propterea, quod suppositum est astra aequali tempore solis radios effugere[7]). Et quia astra η λ iuxta diametrum sibi opposita sunt[8]), et, cum sol est

6) Theodos. sphaer. 2, 13 citat Auria in marg. p. 24.

7) 'Vide Schol. in margine positum in 4. huius' (in nostra editione p. 65 adnot. 3). AURIA ibidem.

8) Theodos. sphaer. 1, 11; scilicet uterque circulorum $\beta\eta\gamma\lambda$ $\varepsilon\eta\lambda$ maximus est. Praeterea etiam Theodos. sphaer. 2, 9 Auria citat in marg. p. 24.

ἑῴα φαινομένη ἐπιτολὴ τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ,
(νβ) ἔσται ἄρα τοῦ Η ἄστρου ἡ ἑσπερία φαινομένη ἐπιτολὴ
τοῦ ἡλίου ὄντος πρὸς τῷ Ν διὰ τὸ ἴσην εἶναι τὴν
ΖΗ περιφέρειαν τῇ ΛΝ περιφερείᾳ. καὶ ἔσται ὁ χρό-
νος ἐν ᾧ ὁ ἥλιος τὴν ΖΓΝ περιφέρειαν διαπορεύεται 5
τῷ Η ἄστρῳ ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἐπὶ τὴν
ἑσπερίαν φαινομένην ἐπιτολήν. πάλιν ἐπεὶ τὸ Θ τῷ
Μ κατὰ διάμετρόν ἐστιν καὶ ἔστιν ἴση ἡ ΖΘ περιφέ-
ρεια τῇ ΜΞ περιφερείᾳ, καὶ ἔστι τοῦ Θ ἄστρου ἡ
ἑσπερία φαινομένη δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ, 10
(νγ) ἔσται ἄρα τοῦ ἡλίου ὄντος πρὸς τῷ Ξ τοῦ Θ ἄστρου
ἡ ἑῴα φαινομένη δύσις. καὶ ἔσται ὁ χρόνος ἐν ᾧ ὁ
ἥλιος τὴν ΞΒΖ περιφέρειαν διαπορεύεται τῷ Θ ἄστρῳ
ἀπὸ ἑῴας φαινομένης δύσεως ἐπὶ τὴν ἑσπερίαν φαι-
(νδ) νομένην δύσιν. ἀλλ' ἐπεὶ δέδεικται ὅτι ἕκαστον τῶν 15
ἀπλανῶν ἄστρων ἀπὸ ἑῴας φαινομένης ἐπιτολῆς ἑκά-
στης νυκτὸς ὁρᾶται ἀνατέλλον ἕως τῆς ἑσπερίας φαι-
νομένης ἐπιτολῆς, τὸ Η ἄρα ἄστρον ἑκάστης νυκτὸς

(νβ) Ἐπειδὴ γὰρ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου κατὰ συ-
ζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Η ἄρα ἀνατέλλοντος τὸ Λ 20
δύνει, καὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Λ τοῦ Η ἐστὶν ἡ ἑσπερία
ἀληθινὴ δύσις. πρότεραι δέ εἰσιν αἱ φαινόμεναι τῶν ἀληθι-
νῶν· τοῦ ἄρα ἡλίου πρὸς τῷ Ν γενομένου (προηγεῖται γὰρ τὸ
Ν τοῦ Λ) ἔσται ἡ φαινομένη τοῦ Η ἑσπερία ἀνατολὴ ἐσχάτη.

(νγ) Πάλιν διὰ τὰ αὐτά, ἐπειδὴ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων 25
κύκλου κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Θ ἄρα δύ-
νοντος τὸ Μ ἀνατέλλει. καὶ τοῦ ἡλίου ὄντος πρὸς τῷ Μ ἔσται
τοῦ Θ ἄστρου ἡ ἑῴα ἀληθινὴ δύσις. ὕστεραι δέ εἰσιν αἱ φαι-
νόμεναι τῶν ἀληθινῶν· τοῦ ἡλίου ἄρα ὄντος πρὸς τῷ Ξ ἔσται
ἡ φαινομένη ἑῴα δύσις πρώτως τοῦ Η· ὕστερον γάρ ἐστι τὸ 30
Ξ τοῦ Μ.

(νδ) Διὰ τὸ β'.

---

1) Ut positum est. AURIA in marg. p. 24.
2) Conf. σχόλιον νβ et in appendice 25.

ad ζ, astrum η matutinum ortum apparentem facit[1]), eiusdem igitur astri vespertinus ortus apparens erit, cum sol erit ad ν[2]), quia arcus $\zeta\eta$ ipsi $\lambda\nu$ aequalis est[3]). Et quo tempore sol arcum $\zeta\gamma\nu$ percurret, eo astrum η a matutino ortu apparente ad vespertinum ortum apparentem perveniet. Rursus quia ϑ μ iuxta diametrum sibi opposita[4]), et arcus $\zeta\vartheta$ $\mu\xi$ inter se aequales sunt[5]), et, cum sol est ad ζ, astrum ϑ vespertinum occasum apparentem facit[6]), eiusdem igitur erit matutinus occasus apparens, cum sol erit ad ξ[7]). Et quo tempore sol arcum $\xi\beta\zeta$ percurret, eo astrum ϑ a matutino occasu apparente ad vespertinum occasum apparentem perveniet. Sed quia demonstravimus unumquodque astrum fixum omnibus noctibus, quae sunt a matutino ortu apparente ad vespertinum ortum apparentem, oriens conspici[8]), astrum igitur η



3) Ut ponitur. AURIA in marg. p. 24.
4) Conf. supra p. 87 adn. 8. Theodos. sphaer. 2, 9 et 1, 11 in marg. p. 25 citat Auria.
5) Theodos. sphaer. 2, 13 citat idem.
6) Ut positum est. AURIA ibidem.
7) Conf. σχόλιον νγ et in appendice 26.
8) Autol. propos. 2 huius (conf. σχόλιον νδ).

ὁρᾶται ἀνατέλλον τοῦ ἡλίου διαπορευομένου τὴν ΖΓΝ
(νε) περιφέρειαν. τὸ δὲ Η τῷ Κ συνανατέλλει· ⟨καὶ⟩ τὸ
Κ ἄρα ὁραθήσεται ἑκάστης νυκτὸς ἀνατέλλον τοῦ
ἡλίου τὴν ΖΓΝ περιφέρειαν διαπορευομένου. πάλιν
ἐπεὶ ἕκαστον τῶν ἀπλανῶν ἄστρων ἀπὸ ἑῴας φαινο- 5
μένης δύσεως ἑκάστης νυκτὸς ὁρᾶται δῦνον ἕως τῆς
ἑσπερίας φαινομένης δύσεως, τοῦ ἄρα ἡλίου διαπο-
ρευομένου τὴν ΞΒΖ περιφέρειαν φανήσεται τὸ Θ
ἄστρον δῦνον. τὸ δὲ Θ ἄστρον τῷ Κ συνδύνει· καὶ
τὸ Κ ἄρα φανήσεται δῦνον τοῦ ἡλίου διαπορευομένου 10
τὴν ΞΒΖ περιφέρειαν· φανήσεται ἄρα τὸ Κ ἄστρον
ἑκάστης νυκτὸς δῦνον μέν, ὅταν τὴν ΞΒΖ περιφέρειαν
διαπορεύηται ὁ ἥλιος, ἀνατέλλον δέ, ὅταν τὴν ΖΓΝ
περιφέρειαν.

Καὶ φανερὸν ὅτι τὸ Κ ἄστρον καὶ δῦνον καὶ ἀνα- 15
τέλλον φανήσεται τοῦ ἡλίου τὴν ΞΒΖΓΝ περιφέρειαν
διαπορευομένου (δέδεικται γὰρ τοῦτο)· λέγω δὴ ὅτι
τοῦ ἡλίου διαπορευομένου καὶ τὴν ΝΜΞ περιφέρειαν
(νς) τὸ Κ ἄστρον ἑκάστης νυκτὸς ὁραθήσεται.

(νζ) Ὑποκείσθω γὰρ [ὥστε] ἴσην εἶναι τὴν ΒΗ τῇ ΓΘ· 20

(νε) Διὰ τὸ τὰς περιφερείας, ἃς διέρχεται μεταξὺ τῶν ἀσυμπτώτων ἡμικυκλίων, ὁμοίας οὔσας ἐν ἴσῳ χρόνῳ διιέναι.

(νς) Ἁπλῶς ὁραθήσεται, οὐχὶ ἢ δῦνον ἢ ἀνατέλλον.

(νζ) Ἐπειδὴ γὰρ ἐν τῷ νυχθημέρῳ πᾶσαν θέσιν ἕξει ὁ ζῳδιακός, ἐχέτω τοιαύτην θέσιν ὥστε τὸ μὲν Ζ μετὰ τὴν διχοτο- 25
μίαν εἶναι τοῦ ΒΖΓ τμήματος, τὰ δὲ Β Γ ἐπὶ τοῦ ὁρίζοντος· ὅτε γὰρ τὸ Ζ ἐγγυτέρω γίνεται τοῦ ὁρίζοντος, οὐκέτι ἔχει τὴν αὐτὴν θέσιν ὁ ζῳδιακὸς ὥστε ἴσην εἶναι τὴν ΒΖ τῇ ΖΓ.

---

1) Conf. σχόλ. νε (in appendice 27) et praefat. ad p. 90, 2.
2) Autol. propos. 3 huius.
3) In Scho. 5 in hanc prop. patet hoc. AURIA in marg. p. 25. Quintum Auriae scholium in nostra editione est 27.

omnibus noctibus, dum sol arcum ζγν percurrit, oriens conspicitur. Simul autem cum η oritur κ[1]); ergo *etiam* astrum κ, dum sol arcum ζγν percurrit, omnibus noctibus oriens conspicietur. Rursus quia unumquodque astrum fixum omnibus noctibus, quae sunt a matutino occasu apparente ad vespertinum occasum apparentem occidens conspicitur[2]), astrum igitur ϑ, dum sol arcum ξβζ percurret, occidens apparebit. Simul autem cum ϑ astro occidit κ[3]); ergo etiam κ, dum sol arcum ξβζ percurret, occidens apparebit; ergo astrum κ omnibus noctibus occidens quidem, dum sol arcum ξβζ percurret, oriens autem, dum arcum ζγν, apparebit.



Sic igitur manifestum est astrum κ et occidens et oriens appariturum esse, dum sol circumferentiam ξβζγν percurrit (hoc enim *statim* demonstravimus); iam dico illo etiam tempore, quo sol arcum νμξ percurret, astrum κ omnibus noctibus conspectum iri[4]).

Supponatur enim arcum βη ipsi γϑ aequalem

---

4) Simpliciter videbitur: non autem vel oriri vel occidere. AURIA ibidem (conf. σχόλ. νς).

(νη) ἴση ἄρα καὶ ἡ ΓΛ τῇ ΒΜ· ὥστε καὶ ἡ ΓΝ τῇ ΒΞ
(νθ) ἴση ἐστίν. καὶ ἔστιν ἑκατέρα τῶν ΒΞ ΓΝ μείζων
(ξ) ἑκατέρας τῶν ΗΖ ΖΘ, τὰς δὲ μείζους περιφερείας
ἀπέχοντος τοῦ ἡλίου ὑπὸ τὸν ὁρίζοντα ἐκφεύγει τα
(ξα) ἄστρα τὰς τοῦ ἡλίου αὐγάς, ὥστε τοῦ ἡλίου, ὡς νῦν 5
ἔχει ὁ τῶν ζῳδίων κύκλος θέσεως, διαπορευομένου
τὴν ΝΜΞ περιφέρειαν πάντα τὰ ἄστρα φαίνεται τὰ
ἐπὶ τῆς ΒΖΓ περιφερείας· καὶ τὶ Κ ἄρα φανήσεται·
τὸ ἄρα Κ ἑκάστης νυκτὸς ὁραθήσεται.

Ὅτι δὲ ἑκατέρα τῶν ΒΞ ΓΝ ἑκατέρας τῶν ΗΖ 10
ΖΘ μείζων ἐστί, φανερόν. ἑκατέρα γὰρ τῶν ΗΖ ΖΘ
ἀνὰ ἥμισύ ἐστιν ζῳδίου (τούτῳ γὰρ ἐχρησάμεθα καὶ
ἐν τῷ περὶ οἰκήσεων)· ἡ ΗΘ ἄρα ζῳδίου ἐστίν, ὥστε
(ξβ) καὶ ἡ ΛΜ· η ἄρα ΝΜΞ δύο ζῳδίων ἐστί· λοιπὴ ἄρα

(νη) Ἐπεὶ γὰρ ἡμικυκλίου ἡ ΗΜΛ, ἡμικυκλίου δὲ καὶ ἡ 15
ΘΛΜ, ἴση ἄρα ἡ ΗΜΛ τῇ ΘΛΜ. κοινὴ ἀφῃρήσθω ἡ ΜΛ· λοιπὴ ἄρα ἡ ΗΜ λοιπῇ τῇ ΘΛ ἴση ἐστίν· ὧν ἡ ΗΒ τῇ ΘΓ ἴση ἐστί * * * λοιπὴ ἄρα ἡ ΒΞ λοιπῇ τῇ ΓΝ ἴση ἐστίν.

(νθ) Ὡς δείξει.

(ξ) Τουτέστι τὰς μείζους ἡμίσους ζῳδίου, ὅ ἐστι τῶν ιε' 20
μορίων, ἐπειδὴ ὑπόκειται, ιε' μοίρας ἀπέχοντος τοῦ ἡλίου ἀπὸ τοῦ ὁρίζοντος ὑπὸ γῆν, τὸ ἄστρον ποιεῖσθαι φάσιν. τούτου οὖν τὰς μείζους ἀπέχοντος τοῦ ἡλίου ὑπὸ γῆν ἀπὸ τοῦ ὁρίζοντος, πολλῷ πλέον ὁραθήσεται τὰ ἄστρα· εἰ γὰρ τὰς ΗΖ ΖΘ ὑπὸ γῆν οὔσας ἀπέχοντος τοῦ ἡλίου τὰ ἄστρα ἐφαίνετο, πολλῷ 25
πλέον τὰς μείζους αὐτῶν ὑπὸ γῆν οὔσας ἀπέχοντος φαίνεται.

(ξα) Εἰ γὰρ τὴν ΓΝ ὑπὸ γῆν οὖσαν διαπορευομένου ἐφαίνετο τὰ ἄστρα, καὶ τὴν ΝΜΞ ἄρα ὑπὸ γῆν οὖσαν διαπορευομένου πάντα φαίνεται· ἐφαίνετο γὰρ καὶ τὴν ΞΒ διαπορευομένου. 30

(ξβ) Ἐπεὶ γὰρ ἡμικυκλίου ἡ ΘΒΜ, ἡμικυκλίου δὲ καὶ ἡ ΗΜΛ, ἴση ἄρα ἡ ΘΒΜ τῇ ΗΜΛ. κοινὴ ἀφῃρήσθω ἡ ΗΜ· λοιπὴ ἄρα ἡ ΗΘ λοιπῇ τῇ ΜΛ ἴση.

---

1) Conf. σχόλιον νζ et in appendice 28.
2) Conf. σχόλιον νη et in appendice 29.
3) Ut ostendetur inferius. AURIA in marg. p. 26 (conf. σχόλιον νθ).

esse[1]); ergo arcus $\gamma\lambda$ ipsi $\beta\mu$ aequalis, itaque etiam $\gamma\nu$ ipsi $\beta\xi$ aequalis est[2]). Et est $\beta\xi$ maior quam $\eta\zeta$, et $\gamma\nu$ maior quam $\zeta\vartheta$[3]), quo autem maiorem circumferentiam sol sub horizonte distat, eo magis astra radios eius effugiunt[4]); itaque, qualis nunc est positio circuli zodiaci, dum sol circumferentiam $\nu\mu\xi$ percurrit, omnia astra, quae sunt in circumferentia $\beta\zeta\gamma$, apparent[5]); ergo etiam astrum $\varkappa$ apparebit; ergo astrum $\varkappa$ omnibus noctibus conspicietur.



Sed arcum $\beta\xi$ maiorem esse quam $\eta\zeta$, et $\gamma\nu$ maiorem quam $\zeta\vartheta$, apparet. Nam uterque arcuum $\eta\zeta$ $\zeta\vartheta$ dimidia pars *eius circumferentiae* est, *quam unum zodiaci* signum *obtinet*[6]) — hoc enim *lemmate* etiam in libro de habitationibus usi sumus[7]) — ergo arcus $\eta\vartheta$ unum signum obtinet[8]); itaque etiam arcus $\lambda\mu$[9]); ergo arcus $\nu\mu\xi$ duo signa obtinet[10]); ergo arcuum,

4) Conf. *σχόλιον* ξ et in appendice 30.
5) Conf. *σχόλιον* $\xi\alpha$ et in appendice 31.
6) 'grad. 15.' AURIA in marg. p. 26.
7) Prop. 10. 11. 12. Theodosii. AURIA ibidem.
8) 'grad. 30.' IDEM.
9) Est enim ipsi $\eta\vartheta$ aequalis. IDEM.
10) 'grad. 60.' IDEM. Praeterea conf. *σχόλιον* $\xi\beta$ et in appendice 32.

ἑκατέρα τῶν ΗΞ ΘΝ ἀνὰ τεσσάρων ἡμίσους ζῳδίων ἐστίν. ὧν ἑκατέρα τῶν ΒΗ ΘΓ ἀνὰ δύο ἥμισυ ζῳδίων ἐστίν· λοιπὴ ἄρα ἑκατέρα τῶν ΒΞ ΓΝ ἀνὰ δύο ζῳδίων ἐστίν· ὥστε ἑκατέρα τῶν ΒΞ ΓΝ ἑκατέρας τῶν ΗΖ ΖΘ μείζων ἐστίν. 5

(ξγ) ια'. Οὐθὲν τῶν ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἄστρων ὀφθήσεται φερόμενον ὅλον τὸ φανερὸν ἡμισφαίριον οὐδὲ τῶν βορειοτέρων, ὅσα δὲ πρὸς μεσημβρίαν οὐ παντάπασιν πλησίον ἐστὶ τοῦ τῶν ζῳδίων κύκλου, ἐνδέχεται ὀφθῆναι φερόμενα ὅλον τὸ φανερὸν ἡμι- 10 σφαίριον.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ζῳδιακὸς δὲ ὁ ΔΒΕ, ἄστρα δέ τινα πρὸς ἀνατολὰς τὰ Α Δ Γ, τὸ μὲν Δ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου, τὸ δὲ Α πρὸς ἄρκτους, τὸ δὲ Γ πρὸς μεσημβρίαν· λέγω ὅτι οὔτε τὸ 15 Δ ὀφθήσεται φερόμενον ὅλον τὸ φανερὸν ἡμισφαίριον, οὔτε τὸ Α, τινὰ δὲ τῶν πρὸς μεσημβρίαν, ὡς τὸ Γ, ἐνδέχεται ὀφθῆναι φερόμενα ὅλον τὸ φανερὸν ἡμισφαίριον.

(ξγ) Τουτέστιν ἐν μιᾷ νυκτὶ οὐδὲν τῶν ἄστρων ὀφθήσεται καὶ ἀνατέλλον καὶ δῦνον, τουτέστι καὶ ἑσπέριον ἐπιτέλλον καὶ ἑῷον δῦνον. πότε δὲ ὀφθήσεται ἐν μιᾷ νυκτὶ καὶ ἀνατέλλον καὶ δῦνον, ἐρεῖ ἐν τῷ β'. 20

---

1) Scilicet uterque arcuum βξ γν $4\frac{1}{2}-2\frac{1}{2}$, id est duo signa, uterque autem arcuum ηζ ζθ dimidium signum obtinet. Auria locum sic interpretatur et in margine haec addit quae nos inter uncinos adscribimus: 'et reliquarum igitur circumferentiarum, altera scilicet ηξ et altera θν, quattuor dimidia signorum compraehendit: quarum altera βη et θγ duo habet signorum dimidia (utraque grad. 30): reliquarum igitur altera, scilicet βξ, et altera γν simul duo signa continet (utraque simul grad. 60). Quare βξ et γν utraque, utraque et ηζ et ζθ maior est.'

qui restant, ηξ ϑν uterque quattuor signa et dimidium obtinet. Sed uterque arcuum βη ϑγ duo signa et dimidium obtinet; ergo arcuum, qui restant, βξ γν uterque maior est quam ηζ ζϑ[1]).

Prop. 11

XI. Nullum eorum astrorum, quae in circulo zodiaco aut propius ad septentriones sunt, per totum conspicuum hemisphaerium ferri videtur[2]), quae autem *astra* versus meridiem nec plane propinqua circulo zodiaco sunt, fieri potest ut per totum conspicuum hemisphaerium ferri videantur.

Sit in mundo horizon αβγδ, zodiacus autem δβε, astra autem quaedam versus orientem sint α δ γ[3]), et δ quidem in circulo zodiaco, α autem versus septentriones, denique γ versus meridiem; dico neque δ astrum neque α per totum conspicuum hemisphaerium ferri videri, quaedam autem eorum, quae sunt versus meridiem, velut γ, fieri posse ut ferri videantur per totum conspicuum hemisphaerium.



2) Conf. σχόλιον ξγ et in appendice 33.

FIGURAM secundum verba scriptoris delineavimus; in codicibus ACE praeter horizontem αδγβ nihil exstat nisi zodiacus αδε et arcus γη paralleli circuli, per quem γ fertur; sed γη quidem circumferentia multo maior apparet, quam ut ἐλάσσων ἢ ὁμοία τῆς δοθείσης περιφερείας cet. (p. 96, 18) dici possit.

3) Orientales partes sint α δ, occidentales β η. AURIA in marg. p. 30.

Ἔστω γὰρ ὑπὸ γῆν τὸ ΔΕΒ ἡμικύκλιον, καὶ φαινέσθω τὰ Α Δ Γ ἀνατέλλοντα τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε. ἐπεὶ οὖν τὰ ἐπὶ τοῦ ζῳδιακοῦ ἄστρα κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει καὶ δύνει, τοῦ ἄρα Δ δύνοντος τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β ἀνατέλλει, καὶ τὸ ΔΕΒ ἡμικύκλιον ἐν τῷ ὑπὲρ γῆν ἔσται· ἡμέρας ἄρα δύνει τὸ Δ ἄστρον· οὐκ ἄρα τὸ Δ ἄστρον ὀφθήσεται φερόμενον ὅλον τὸ φανερὸν ἡμι-
(ξδ) σφαίριον. καὶ ἐπεὶ τὰ Α Δ ὁμοῦ ἀνατέλλει καὶ ἔστι τὸ Α πρὸς ἄρκτους, ὕστερον ἄρα δύνει τὸ Α τοῦ Δ. ἡμέρας δὲ δύνει τὸ Δ· καὶ τὸ Α ἄρα ἡμέρας δύσεται· ὥστε τὶ Α οὐκ ὀφθήσεται φερόμενον ὅλον τὸ φανερὸν ἡμισφαίριον. πάλιν ἐπεὶ τὰ Γ Δ ὁμοῦ ἀνατέλλει, τὸ Δ ἄρα τοῦ Γ ὕστερον δύνει· ὥστε ἐνδέχεταί τινα ἄστρα πρὸς μεσημβρίαν ληφθῆναι ὥστε φανῆναι αὐτὰ
(ξε) φερόμενα ὅλον τὶ φανερὸν ἡμισφαίριον· καὶ γὰρ ἐνδέχεταί τινα κύκλον γραφῆναι ὡς τὸν ΓΗ, καὶ τὴν ΓΗ ὑπὲρ γῆν αὐτοῦ οὖσαν περιφέρειαν ἐλάσσονα εἶναι ἢ ὁμοίαν τῆς δοθείσης περιφερείας τοῦ παραλλήλου καθ' οὗ φέρεται ὁ ἥλιος ἐν ᾧ ἡ ΕΔ περιφέρεια τοῦ ζῳδιακοῦ ἀνατέλλει.

(ξς) ιβ'. Τῶν ἄστρων οἷς ἀπὸ τῆς ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑῴα ἀληθινὴ δύσις γίγνεται δι' ἐλάσσονος χρόνου ἡμίσους ἐνιαυτοῦ, ᾧ ἐλάσσων ἐστὶν ὁ χρόνος ἡμίσους ἐνιαυτοῦ, τοῦτον τὸν χρόνον τὸ ἄστρον καὶ

(ξδ) Διὰ τοῦ θ' τοῦ περὶ κινουμένης σφαίρας.

(ξε) Τοῦ γὰρ ἡλίου ὑπὸ γῆν ὄντος κατὰ μείζονος τῆς ΔΕ περιφερείας, ἐλάττονος δὲ αὐτῆς τῆς ΓΗ, ἐν ὅσῳ τὸ πᾶν ἄγει τὴν ΕΔ περιφέρειαν ὑπὸ γῆν οὖσαν, ἡ ΓΗ φαίνεται διερχομένη, ὡς ἐν ἐλάττονι χρόνῳ πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι διιοῦσα τὸ φανερὸν ἡμισφαίριον.

(ξς) Ὡς ἐν τῷ ιδ' θεωρήματι περὶ τῶν φαινομένων.

Sit enim semicirculus $\delta\varepsilon\beta$ sub terra, et astra α δ γ oriri videantur, cum sol est ad ε. Iam quia astra in zodiaco iuxta diametrum opposita coniugate oriuntur et occidunt[1]), astro igitur δ occidente oppositum ei astrum β oritur, et semicirculus $\delta\varepsilon\beta$ super terram erit; ergo astrum δ interdiu occidit, itaque non per totum conspicuum hemisphaerium ferri videbitur. Et quia astra α δ simul oriuntur, et astrum α versus septentriones est, posterius igitur α quam δ occidit[2]). Sed interdiu δ occidit; ergo etiam α interdiu occidet; itaque α non per totum conspicuum hemisphaerium ferri videbitur. Rursus quia astra γ δ simul oriuntur, δ igitur posterius quam γ occidit[2]); ergo astra quaedam versus meridiem sumi possunt, quae per totum conspicuum hemisphaerium ferri videantur; namque etiam circulus, velut $\gamma\eta$, describi potest, cuius circumferentia $\gamma\eta$, quae sit super terram, minor sit quam similis datae circumferentiae eius *circuli* paralleli, per quem sol fertur, dum zodiaci circumferentia $\varepsilon\delta$ oritur[3]).



Prop. 12

XII. Si quae astra ab ortu vero matutino occasum verum matutinum minore quam dimidii anni spatio intermisso faciunt, haec eo tempore, quod de dimidio

1) Eucl. phaenom. 6.
2) Autol. de sphaera 9 (conf. *σχόλιον* $\xi\delta$).
3) Conf. *σχόλιον* $\xi\varepsilon$ et in appendice 34.

δύσεται καὶ ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν, ἄλλον δὲ τούτῳ ἴσον χρόνον τὸ ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν.

Ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΓΖ, καί, τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α, ἄστρον τι πρὸς μεσημβρίαν ἀνατελλέτω τὸ Δ· τῷ ἄρα Δ ἄστρῳ ἡ ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑῴα ἀληθινὴ δύσις γίγνεται δι' ἐλάσσονος χρόνου ἡμίσους ἐνιαυτοῦ· λέγω δὴ ὅτι, ᾧ ἐλάσσων ἐστὶν ὁ χρόνος ἡμίσους ἐνιαυτοῦ, τοῦτον τὸν χρόνον τὸ Δ ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν, ἄλλον δὲ τούτῳ ἴσον χρόνον τὸ Δ ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν.



(ξζ) Ἔστω γὰρ τῷ Δ ἄστρῳ ἡ ἀληθινὴ ἑῴα δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε· ὁ ἄρα χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΑΕ περιφέρειαν διαπορεύεται ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἐστι χρόνος μέχρις ἑῴας ἀληθινῆς δύσεως τοῦ Δ ἄστρου· ᾧ ἄρα ἐλάσσων ἐστὶν ὁ χρόνος ἡμίσους ἐνιαυτοῦ, ὁ χρόνος ἐστὶν ἐν ᾧ ὁ ἥλιος τὴν ΓΕ περιφέρειαν διαπορεύεται. καὶ ἐπεὶ τοῦ Δ ἄστρου ἀνατέλλοντος κατὰ τὸ Δ αἰεὶ ἱ τῶν ζῳδίων κύκλος

(ξζ) Τοῦ μὲν γὰρ Α δύνοντος ὁ ζῳδιακὸς τὴν ἔμπαλιν θέσιν ἕξει, καὶ τὸ ΑΕΓ ἡμικύκλιον ὑπὲρ γῆν ἔσται. ἐπειδὴ δὲ τὸ Δ προδύνει τοῦ Α διὰ τὸ Θ' τοῦ περὶ κινουμένης σφαίρας, τοῦ ἄρα Δ δύνοντος τὸ συνανατέλλον αὐτῷ ἐν τῷ ὑπὲρ γῆν ἔσται ἡμικυκλίῳ, τουτέστιν ἐπὶ τοῦ ΑΕΓ, οἷον τὸ Ε· τοῦ ἄρα ἡλίου πρὸς τῷ Ε ὄντος, τοῦ Δ ἐστὶν ἡ ἀληθινὴ ἑῴα δύσις.

anno deest, et occident et orientur, dum sol erit in *hemisphaerio* quod sub terra est, altero autem aequali tempore neque occident neque orientur, dum sol erit in eodem sub terra *hemisphaerio.*

Sit in mundo eirculus horizon $\alpha\beta\gamma\delta$, solis autem circulus positionem habeat velut $\alpha\varepsilon\gamma\zeta$, et sole in α oriente astrum aliquod δ versus meridiem *situm* oriatur; ergo astrum δ ab ortu vero matutino occasum verum matutinum facit minore quam dimidii anni spatio intermisso[1]); iam dico eo tempore, quod de dimidio anno deest, astrum δ et occasurum et oriturum esse, dum sol erit in *hemisphaerio* quod sub terra est, altero autem aequali tempore astrum δ neque occasurum neque oriturum esse, dum sol erit in eodem sub terra *hemisphaerio.*

Sit enim astri δ verus occasus matutinus, cum sol est ad ε[2]). Quo igitur tempore sol arcum $\alpha\varepsilon$ percurrit, eodem astrum δ ab ortu matutino vero ad occasum matutinum verum pervenit; tempus igitur, quod de dimidio anno deest, illud est, quo sol arcum $\varepsilon\gamma$ percurrit. Et quia, cum astrum δ in puncto δ oritur,

---

FIGURA similis exstat in codicibus ACE, et est aequalis illi quam ad propos. 5 p. 70 edidimus.

1) Ex hypothesi astri δ est ortus verus matutinus, cum sol ad α oritur; eiusdem autem astri, ut scholio $\xi\zeta$ demonstratur, occasus verus matutinus fit, cum sol est ad ε; ergo, dum sol arcum $\alpha\varepsilon$ percurrit, astrum δ ab ortu vero matutino ad occasum verum matutinum pervenit (conf. p. 98, 19—22). Et tempus, quo sol arcum $\alpha\varepsilon$ percurrit, minus est dimidio anno. Conf. similem demonstrationem in fine Graeci scholii $\xi\eta$ sive Latini 36. [Quod Auria in marg. p. 32 propositionem 11 huius libri citat, respexisse videtur verba *astrum aliquod δ versus meridiem situm,* sed tamen haec ab illa propos. aliena sunt.]

2) Conf. *σχόλιον* $\xi\zeta$ et in appendice 35.

θέσιν ἔχει τὴν αὐτήν, καὶ ἔσται τὸ μὲν ΑΕΓ ἡμικύκλιον ἐν τῷ ὑπὸ γῆν, τὸ δὲ λοιπὸν ἐν τῷ ὑπὲρ γῆν τὸ ΓΖΑ, καὶ τοίνυν, ὅταν τὸ Δ ἀνατέλλῃ καὶ ὁ ἥλιος τὴν ΑΕΓ περιφέρειαν διαπορεύηται, ἐν τῷ ὑπὸ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΓΕ· τοῦ ἄρα ἡλίου τὴν ΓΕ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Δ ἄστρον ἀνατέλλει μέν, οὐ πάντως δὲ καὶ φανήσεται ἀνατέλλον. κείσθω δὴ τῇ ΕΓ περιφερείᾳ ἴση τε καὶ ἀπεναντίον ἡ ΑΖ, καὶ ἐπεὶ τοῦ Δ ἄστρου ἐστὶν ἡ ἑῴα ἀληθινὴ δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ε, δῆλον ὡς τοῦ Δ δύνοντος ὁ ἥλιος ἀνατέλλει κατὰ τὸ Ε καὶ ἔτι τὸ μὲν ΕΓΖ ἡμικύκλιον ἐν τῷ ὑπὸ γῆν ἔσται, τὸ δὲ λοιπὸν ἐν τῷ ὑπὲρ γῆν τὸ ΖΑΕ· καὶ τοίνυν, ὅταν τὸ Δ δύνῃ καὶ ὁ ἥλιος τὴν ΕΓΖ περιφέρειαν διαπορεύηται, ἐν τῷ ὑπὶ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΕΓ· τοῦ ἄρα ἡλίου τὴν ΕΓ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Δ ἄστρον δύνει. ἐδείχθη δὲ καί, τοῦ ἡλίου τὴν ΕΓ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Δ ἄστρον ἀνατέλλον· τοῦ ἄρα ἡλίου τὴν ΕΓ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Δ ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ. λέγω δὴ ὅτι, τοῦ ἡλίου διαπορευομένου τὴν ΖΑ περιφέρειαν ὑπὸ γῆν, τὸ Δ ἄστρον οὔτε δύνει οὔτε ἀνατέλλει [τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν].

Ἐπεὶ γὰρ τοῦ Δ ἄστρου ἀνατέλλοντος τὸ μὲν ΑΕΓ ἡμικύκλιον ἐν τῷ ὑπὸ γῆν ἐστιν, τὸ δὲ ΓΖΑ ἐν τῷ ὑπὲρ γῆν, καὶ τοίνυν, ὅταν τὸ Δ ἀνατέλλῃ καὶ ὁ ἥλιος τὴν ΓΖΑ περιφέρειαν διαπορεύηται, ἐν τῷ ὑπὲρ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΖΑ· τοῦ ἄρα ἡλίου τὴν ΖΑ περιφέρειαν ἐν τῷ ὑπὲρ γῆν διαπορευομένου, τὸ Δ ἄστρον ἀνατέλλει. πάλιν, ἐπεὶ τοῦ Δ δύνοντος

zodiacus circulus semper eandem positionem habet, et semicirculus $\alpha\varepsilon\gamma$ sub terra, reliquus autem $\gamma\zeta\alpha$ super terram erit, cum igitur δ orietur et sol semicirculum $\alpha\varepsilon\gamma$ percurret, hunc percurret in *hemisphaerio* quod sub terra est; itaque etiam arcum $\varepsilon\gamma$; ergo cum sol arcum $\varepsilon\gamma$ sub terra percurrit, astrum quidem δ oritur, nequaquam tamen etiam oriens conspicietur. Iam ponatur arcui $\varepsilon\gamma$ aequalis et oppositus arcus $\zeta\alpha$, et quia astri δ occasus verus matutinus est, cum sol est ad ε, apparet solem, cum astrum δ occidit, in puncto ε oriri, et semicirculum $\varepsilon\gamma\zeta$ sub terra, reliquum autem $\zeta\alpha\varepsilon$ super terram futurum esse; ergo etiam, cum astrum δ occidet et sol arcum $\varepsilon\gamma\zeta$ percurret, hunc percurret in *hemisphaerio* quod sub terra est; itaque etiam arcum $\varepsilon\gamma$; ergo, cum sol arcum $\varepsilon\gamma$ sub terra percurrit, astrum δ occidit. Sed demonstravimus etiam, cum sol arcum $\varepsilon\gamma$ sub terra percurrit, astrum δ oriri; ergo, cum sol arcum $\varepsilon\gamma$ sub terra percurret, astrum δ et occidet et orietur. Iam dico, cum sol arcum $\zeta\alpha$ sub terra percurrit, astrum δ neque occidere neque oriri.



Quoniam enim, cum astrum δ oritur, semicirculus $\alpha\varepsilon\gamma$ in *hemisphaerio* sub terra, semicirculus autem $\gamma\zeta\alpha$ super terram est, cum igitur astrum δ orietur et sol arcum $\gamma\zeta\alpha$ percurret, hunc super terram percurret; itaque etiam arcum $\zeta\alpha$; ergo, cum sol arcum $\zeta\alpha$ super terram percurrit, astrum δ oritur. Rursus, quia astro δ occidente semicirculus $\zeta\alpha\varepsilon$ in *hemisphaerio* super

τὸ μὲν ΖΑΕ ἡμικύκλιον ἐν τῷ ὑπὲρ γῆν ἐστιν τὸ δὲ ΕΓΖ ἐν τῷ ὑπὸ γῆν, καὶ τοίνυν, ὅταν τὸ Δ δύνῃ καὶ ὁ ἥλιος τὴν ΖΑΕ περιφέρειαν διαπορεύηται, ἐν τῷ ὑπὲρ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΖΑ· τοῦ ἄρα ἡλίου τὴν ΖΑ διαπορευομένου ἐν τῷ ὑπὲρ γῆν, τὸ Δ ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ· ὥστε, τοῦ ἡλίου τὴν ΖΑ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Δ ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ.

ιγ'. Τῶν ἄστρων οἷς ἀπὸ τῆς ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑῴα ἀληθινὴ δύσις γίγνεται διὰ πλείονος χρόνου ἡμίσους ἐνιαυτοῦ, ᾧ πλείων ἐστὶν ὁ χρόνος ἡμίσους ἐνιαυτοῦ, τοῦτον τὸν χρόνον τὸ ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν, ἄλλον δὲ αὐτῷ ἴσον χρόνον καὶ δύσεται τὸ ἄστρον καὶ ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν.

Ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, ὁ δὲ τοῦ ἡλίου κύκλος θέσιν ἐχέτω τὴν ΑΕΓΖ, ὑπὸ γῆν δὲ ἔστω τὸ ΑΕΓ ἡμικύκλιον, καὶ τοῦ ἡλίου ἀνατέλλοντος κατὰ τὸ Α ἄστρα τινὰ τῶν ἀπλανῶν ἀνατελλέτω τὰ Α Β Δ,
(ξη) καὶ ἔστω πρὸς ἄρκτους τὸ Β· τῷ Β ἄρα ἄστρῳ ἡ ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑῴα ἀληθινὴ δύσις γίγνεται διὰ πλείονος χρόνου ἡμίσους ἐνιαυτοῦ· λέγω δὴ ὅτι ᾧ πλείων ἐστὶν ὁ χρόνος ἡμίσους ἐνιαυτοῦ, τοῦτον τὸν χρόνον τὸ Β ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ

(ξη) Τοῦ μὲν γὰρ Α δύνοντος ὁ ζῳδιακὸς τὴν ἔμπαλιν θέσιν ἕξει, καὶ τὸ ΑΖΓ ἡμικύκλιον ὑπὸ γῆν ἔσται. ἐπειδὴ δὲ τὸ Β τοῦ Α ὕστερον δύνει διὰ τὸ Θ' τοῦ περὶ κινουμένης σφαίρας, τὸ ἄρα συνανατέλλον αὐτῷ ἐν τῷ ὑπὸ γῆν ἔσται ἡμικυκλίῳ, ⟨τουτέστιν⟩ ἐν τῷ ΑΖΓ, οἷον τὸ Ζ· τοῦ ἄρα ἡλίου πρὸς τῷ Ζ ὄντος, τοῦ Β ἐστὶν ἡ ἑῴα ἀληθινὴ δύσις, ὥστε τοῦ ἡλίου τὴν ΑΙΖ περιφέρειαν διαπορευομένου, τοῦ Β ἄστρου ἐστὶν ἡ ἀπὸ ἑῴας ἀληθινῆς ἐπιτολῆς ἑῴα ἀληθινὴ δύσις, καὶ ἔστι μείζων ἡμίσους ἐνιαυτοῦ.

terram et semicirculus εγζ sub terra est, cum igitur astrum δ occidet et sol arcum ζαε percurret, hunc super terram percurret; itaque etiam arcum ζα; ergo, cum sol arcum ζα super terram percurret, astrum δ et occidet et orietur; itaque, cum sol arcum ζα sub terra percurret, astrum δ neque occidet neque orietur.

Prop. 13

XIII. Si quae astra ab ortu vero matutino occasum verum matutinum maiore quam dimidii anni spatio intermisso faciunt, haec eo tempore, quod dimidium annum superat, neque occident neque orientur, dum sol erit in *hemisphaerio* quod sub terra est, altero autem aequali tempore et occident et orientur, dum sol erit in eodem sub terra *hemisphaerio*.

Sit in mundo horizon αβγδ, solis autem circulus positionem habeat velut αεγζ, semicirculus autem αεγ sub terra sit, et sole in α oriente astra quaedam fixa α β δ, quorum β sit versus septentriones, oriantur; ergo astrum β ab ortu vero matutino occasum verum matutinum facit maiore quam dimidii anni spatio intermisso[1]); iam dico eo tempore, quod dimidium annum superat, astrum β neque occasurum neque oriturum esse, dum sol erit in *hemisphaerio* quod sub terra est, altero autem aequali



FIGURA similis exstat in codicibus ACE, et est aequalis illi quam ad propos. 4 p. 63 post vs. 3 edidimus.

1) Conf. σχόλιον ξη et in appendice 36.

τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν, ἄλλον δὲ τούτῳ ἴσον χρόνον τὸ Β ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ τοῦ ἡλίου ὄντος ἐν τῷ ὑπὸ γῆν.

Ἔστω γὰρ τοῦ Β ἄστρου ἡ ἑῴα ἀληθινὴ δύσις τοῦ ἡλίου διελθόντος τὴν ΑΕΓΖ περιφέρειαν καὶ ὄντος πρὸς τῷ Ζ· ᾧ ἄρα πλείων χρόνος ἐστὶν ἡμίσους ἐνιαυτοῦ, ὁ χρόνος ἐστὶν ἐν ᾧ ὁ ἥλιος τὴν ΓΖ περιφέρειαν διαπορεύεται· λέγω ὅτι, τοῦ ἡλίου τὴν ΓΖ διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Β ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ.

Ἐπεὶ γάρ, ὅτε τὸ Α ἀνατέλλει, τὸ μὲν ΑΕΓ ἐστὶν ἐν τῷ ὑπὸ γῆν, τὸ δὲ ΓΖΑ ἐν τῷ ὑπὲρ γῆν, καὶ τοίνυν, ὅταν τὸ Β ἀνατέλλῃ καὶ ὁ ἥλιος τὴν ΓΖΑ διαπορεύηται, ἐν τῷ ὑπὲρ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΓΖ· τοῦ ἄρα ἡλίου τὴν ΓΖ διαπορευομένου ἐν τῷ ὑπὲρ γῆν, τὸ Β ἄστρον ἀνατέλλει μέν, οὐ φανήσεται δὲ ἀνατέλλον. κείσθω δὴ τῇ ΓΖ ἴση τε καὶ ἀπεναντίον ἡ ΑΕ, καὶ ἐπεὶ τοῦ Β ἄστρου ἐστὶν ἡ ἀληθινὴ ἑῴα δύσις τοῦ ἡλίου ὄντος πρὸς τῷ Ζ, τοῦ ἄρα Β δύνοντος ὁ ἥλιος ἀνατέλλει κατὰ τὸ Ζ. ὅταν δὲ τὸ Ζ ἀνατέλλῃ, τὸ Ε δύνει. καὶ ἔσται τὸ μὲν ΕΓΖ ἡμικύκλιον ἐν τῷ ὑπὲρ γῆν, τὸ δὲ ΖΑΕ ἐν τῷ ὑπὸ γῆν· καὶ τοίνυν, ὅταν τὸ Β δύνῃ καὶ ὁ ἥλιος τὴν ΕΓΖ διαπορεύηται, ἐν τῷ ὑπὲρ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΓΖ· τοῦ ἄρα ἡλίου τὴν ΓΖ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὲρ γῆν, δύνει μὲν τὸ Β ἄστρον, οὐ φανήσεται δέ· τοῦ ἄρα ἡλίου τὴν ΓΖ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὲρ γῆν, τὸ Β ἄστρον καὶ δύνει καὶ ἀνατέλλει· ὥστε τοῦ ἡλίου τὴν ΓΖ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν,

tempore astrum β et occasurum et oriturum esse, dum sol erit in eodem sub terra *hemisphaerio.*

Sit enim astri β occasus verus matutinus, cum sol circumferentiam $\alpha\varepsilon\gamma\zeta$ percucurrit et ad ζ pervenit; tempus igitur, quod dimidium annum superat, illud est, quo sol arcum $\gamma\zeta$ percurrit; dico, dum sol arcum $\gamma\zeta$ sub terra percurret, astrum β neque occasurum neque oriturum esse.



Quoniam enim, cum astrum α oritur, semicirculus $\alpha\varepsilon\gamma$ in *hemisphaerio* sub terra, semicirculus autem $\gamma\zeta\alpha$ super terram est, cum igitur astrum β orietur et sol semicirculum $\gamma\zeta\alpha$ percurret, hunc super terram percurret; itaque etiam arcum $\gamma\zeta$; ergo, cum sol arcum $\gamma\zeta$ super terram percurret, astrum quidem β oritur neque tamen oriens conspicietur. Iam ponatur arcui $\gamma\zeta$ aequalis et oppositus $\alpha\varepsilon$, et quia astri β occasus verus matutinus est, cum sol ad ζ[1]), astro igitur β occidente sol in puncto ζ oritur. Sed cum ζ oritur, ε occidit[2]). Et semicirculus $\varepsilon\gamma\zeta$ super terram, semicirculus autem $\zeta\alpha\varepsilon$ sub terra erit; ergo etiam, cum β occidet et sol semicirculum $\varepsilon\gamma\zeta$ percurret, hunc percurret in *hemisphaerio* quod super terram est; itaque etiam arcum $\gamma\zeta$; ergo, cum sol arcum $\gamma\zeta$ super terram percurrit, astrum quidem β occidit neque tamen conspicietur; ergo, cum sol arcum $\gamma\zeta$ super terram percurrit, astrum β et occidit et oritur; itaque, cum sol

1) Ut ponitur. AURIA in marg. p. 35.
2) Eucl. phaenom. 6.

τὸ Β ἄστρον οὔτε δύσεται οὔτε ἀνατελεῖ. λέγω δὴ ὅτι, τοῦ ἡλίου τὴν ΑΕ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Β ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ.

Ἐπεὶ γὰρ τοῦ Β ἀνατέλλοντος τὸ μὲν ΑΕΓ ἡμικύκλιον ἐν τῷ ὑπὸ γῆν ἐστι, τὸ δὲ ΓΖΑ ἐν τῷ ὑπὲρ γῆν, καὶ τοίνυν, ὅταν τὸ Β ἀνατέλλῃ καὶ ὁ ἥλιος τὴν ΑΕΓ διαπορεύηται, ἐν τῷ ὑπὸ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΑΕ. πάλιν, ἐπεὶ τοῦ Β δύνοντος το μὲν ΖΑΕ ἐστὶν ἐν τῷ ὑπὸ γῆν τὸ δὲ ΖΓΕ ἐν τῷ ὑπὲρ γῆν, καὶ τοίνυν, ὅταν τὸ Β δύνῃ καὶ ὁ ἥλιος τὴν ΖΑΕ διαπορεύηται, ἐν τῷ ὑπὸ γῆν αὐτὴν διελεύσεται· ὥστε καὶ τὴν ΑΕ· τοῦ ἄρα ἡλίου τὴν ΑΕ περιφέρειαν διαπορευομένου ἐν τῷ ὑπὸ γῆν, τὸ Β ἄστρον καὶ δύσεται καὶ ἀνατελεῖ.

ΑΥΤΟΛΥΚΟΥ

ΠΕΡΙ ΕΠΙΤΟΛΩΝ ΚΑΙ ΔΥΣΕΩΝ

ΤΟ Β.

(α) α΄. Τοῦ ζῳδιακοῦ ἓν δωδεκατημόριον, ἐν ᾧ ἐστιν ὁ ἥλιος, οὔτε ἐπιτέλλον οὔτε δυόμενον ὁρᾶται, ἀλλὰ κρύψιν ἄγον· ὁμοίως δὲ καὶ τὸ κατὰ διάμετρον αὐτῷ οὔτε δῦνον οὔτε ἐπιτέλλον θεωρεῖται, ἀλλ' ὅλας τὰς νύκτας ὑπὲρ γῆς φαινόμενον.

(α) Δωδεκατημόριον λέγει οὔτε κατ' ἀστερισμὸν οὔτε κατὰ δωδέκατα, ὡς ἐμάθομεν, μόνον, οἷον κριὸν ἢ ταῦρον, ἀλλὰ δωδέκατον ὂν τῆς τοῦ παντὸς περιφορᾶς, ἀφ' οἵου ἂν ἐθέλῃς σημείου τοῦ ζῳδιακοῦ.

arcum γζ sub terra percurret, astrum β neque occidet neque orietur. Iam dico, cum sol arcum αε sub terra percurret, astrum β et occasurum et oriturum esse.

Quoniam enim, cum β oritur, semicirculus αεγ in *hemisphaerio* sub terra, semicirculus autem γζα super terram est, cum igitur astrum β orietur et sol semicirculum αεγ percurret, hunc sub terra percurret; itaque etiam arcum αε. Rursus, quia astro β occidente semicirculus ζαε sub terra, semicirculus autem ζγε super terram est, cum igitur astrum β occidet et sol semicirculum ζαε percurret, hunc sub terra percurret; itaque etiam arcum αε; ergo, cum sol arcum αε sub terra percurret, astrum β et occidet et orietur.

AUTOLYCI

DE ORTIBUS ET OCCASIBUS

LIBER II.

Propositiones.

Prop. 1

I. Zodiaci unum dodecatemorion[1]), in quo est sol, neque oriens neque occidens conspicitur, sed occultatur; similiter etiam id, quod huic iuxta diametrum *oppositum* est, neque occidens neque oriens videtur, sed per totas noctes super terram apparet.

---

1) Conf. σχόλιον α et in appendice 37 et 38.

Ἔστω ὁ τῶν ζῳδίων κύκλος ὁ ΑΒ, ὁρίζων δὲ ὁ ΓΔ, καὶ ἀνατολὴ μὲν τοῦ ἡλίου ἔστω ἐπὶ τοῦ Δ,
(β) δύσις δὲ ἐπὶ τοῦ Γ, καὶ ὁ κόσμος ἀπὸ τῆς Δ ἀνατολῆς ἐπὶ δύσιν τὴν Γ στρεφέσθω, ὁ δὲ ἥλιος εἰς τὰ ἐναντία τῷ ζῳδιακῷ κινείσθω, καὶ ἀπειλήφθω ζῳδίου περιφέρεια ἡ ΔΕ, καὶ τετμήσθω δίχα κατὰ τὸ Ζ· λέγω ὅτι ἡ ΕΔ περιφέρεια οὔτε ἀνατέλλουσα οὔτε δύνουσα ὁρᾶται, οὐδὲ μὴν ἡ κατὰ διάμετρον, ἀλλὰ ὅλην τὴν ὑπὲρ γῆν φορὰν φανερὰν ποιουμένη τοῦ ἡλίου ὄντος ὑπὸ γῆν.

Ἐπεὶ γὰρ ὑπόκειται τὰς αὐγὰς ἐκφεύγειν τὰ ἄστρα τὰς τοῦ ἡλίου, ἐὰν τοῦ ὁρίζοντος ὑπὸ γῆν ἥμισυ ζῳδίου ἀπέχῃ ὁ ἥλιος, ἡμίσους δὲ ζῳδίου ἐστὶν ἡ ΖΔ περιφέρεια, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Ζ ὄντος τὸ Δ ἄστρον ἑῴαν φαινομένην ἀνατολὴν ποιεῖται· ἡ ἄρα ΖΔ περιφέρεια νυκτὸς ἀνατέλλουσα οὐχ ὁρᾶται. δῆλον
(γ) δὲ ὅτι οὐδὲ ἡ ΖΕ ἀνατέλλουσα ὁρᾶται· ὅλη ἄρα ἡ ΕΔ περιφέρεια ἀνατέλλουσα οὐχ ὁρᾶται. διὰ τὰ αὐτὰ δη
(δ) οὐδὲ [δύνουσα ὁρᾶται] ὅλη ἡ ΕΔ περιφέρεια τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ Ζ οὔτε ἀνατέλλουσα οὔτε δύνουσα
(ε) ὁρᾶται, οὐδὲ μὴν ἡ κατὰ διάμετρον αὐτῇ ἡ ΓΗ· τῆς γὰρ ΕΔ περιφερείας ἀνατελλούσης ἡ κατὰ διάμετρον
(ς) αὐτῇ ἡ ΓΗ δύνει, τῆς δὲ ΕΔ δυνούσης ἡ κατὰ διά-

(β) Τουτέστι κατὰ διάμετρον.

(γ) Ἐπειδὴ τὸ Δ μόνον ὁρᾶται. πολλῷ δὲ πλέον ἡ ΖΕ οὐχ ὁρᾶται, ἐπειδὴ πᾶσα ὑπὸ γῆν ἐστιν.

(δ) Τοῦ γὰρ ἡλίου ὄντος ἐπὶ τοῦ Ζ τὸ Ε δῦνον ὁρᾶται· προδύνει γὰρ αὐτοῦ ὁ ἥλιος· ὥστε ἡ ΕΖ δύνουσα οὐχ ὁρᾶται, ἐπειδὴ τὸ Ε μόνον ὁρᾶται δῦνον. οὐδὲ μὴν ἡ ΖΔ· πᾶσα γὰρ ὑπὸ γῆν ἐστιν.

(ε) Ἐπειδὴ γὰρ προηγούμενόν ἐστι τὸ Γ, πρότερον δύνει τοῦ Η· ὥστε ἡ ΓΗ οὐχ ὁρᾶται δύνουσα· μόνον γὰρ τὸ Γ ὁρᾶται δῦνον.

(ς) Διὰ τοῦ ιγ' τῶν φαινομένων.

Sit zodiacus circulus $\alpha\beta$, horizon autem $\gamma\delta$, et ortus solis sit in puncto δ, occasus autem in γ, et mundus ab ortu δ ad occasum γ convertatur, sol autem in contrarias zodiaco partes moveatur, et intercipiatur unius signi circumferentia $\delta\varepsilon$ eaque bifariam secetur in ζ; dico circumferentiam $\varepsilon\delta$ neque orientem neque occidentem conspici, neque vero alteram iuxta diametrum *oppositam*, quae quidem omnem super terram conversionem facit, dum sol sub terra est.



Quoniam enim suppositum est astra solis radios effugere, si sol sub terra ab horizonte dimidii signi partem distet[1]), circumferentia autem $\zeta\delta$ dimidii signi est[2]), astrum igitur δ, cum sol est ad ζ, facit matutinum ortum apparentem; ergo circumferentia $\zeta\delta$ non conspicitur noctu oriens. Sed manifestum est ne $\zeta\varepsilon$ quidem circumferentiam orientem conspici[3]); tota igitur $\varepsilon\delta$ circumferentia non conspicitur oriens. Iam eadem ratione tota $\varepsilon\delta$ circumferentia, cum sol est ad ζ, neque oriens neque occidens conspicitur[4]), neque vero altera $\gamma\eta$, quae iuxta diametrum ei *opposita* est[5]). Nam dum circumferentia $\varepsilon\delta$ oritur, ipsa $\gamma\eta$

FIGURA similis extat in codicibus ACE, nisi quod litterae ε ζ latius inter se distant ac paene totum $\beta\delta$ quadrantem obtinent.

1) 'grad. 15.' AURIA in marg. p. 38.
2) Conf. in appendice scholium 40.
3) Conf. σχόλιον γ et in appendice 41.
4) Conf. σχόλιον δ et in appendice 42.
5) Conf. σχόλιον ε et in appendice 43.

μετρον ἀνατέλλει· ἡ ἄρα ΕΔ περιφέρεια οὔτε ἀνατέλ-
(ζ) λουσα οὔτε δύνουσα ὁρᾶται, οὐδὲ μὴν ἡ κατὰ διάμετρον,
(η) ἀλλ' ὅλην τὴν ὑπὲρ γῆς φορὰν φανερὰν ποιουμένη.

β'. Τῶν δώδεκα ζῳδίων τὸ προηγούμενον τοῦ ἐν ᾧ ἐστιν ὁ ἥλιος ἐπιτέλλον ἑῷον φαίνεται, τὸ δὲ ἑπό- 5 μενον ἑσπέριον δῦνον.

Ἔστω ὁ τῶν ζῳδίων κύκλος ὁ ΑΒ, ὁρίζων δὲ ὁ ΓΔ, καὶ δωδεκατημορίου περιφέρεια ἀφῃρήσθω ἡ ΕΔ, καὶ κατὰ μέσης αὐτῆς ἔστω ὁ ἥλιος, καὶ ἡγούμενον μὲν τοῦ ἡλίου ἔστω δωδεκατημόριον τὸ ΔΗ, ἀκολου- 10 θοῦν δὲ τὸ ΕΘ· λέγω ὅτι ἡ μὲν ΔΗ περιφέρεια ἑῴαν ἀνατολὴν ποιεῖται, ἡ δὲ ΕΘ ἑσπερίαν δύσιν.

Ἡ μὲν γαρ ΔΗ περιφέρεια ὑπὲρ ἥμισυ ζῳδίου περιφερείας ἀπέχουσα ἀνατέλλουσα ὁρᾶται, ὥστε ἑῴαν
(θ) ἀνατολὴν ποιεῖται, ἡ δὲ ΔΕ οὐχ ὁρᾶται ἀνατέλλουσα, 15
(ι) ἡ δὲ ΕΘ ἡμέρας ἀνατέλλουσα οὐχ ὁρᾶται. στρεφομένου δὲ τοῦ κόσμου ἡ μὲν ΔΗ περιφέρεια ἑῴαν ἀνατολὴν ποιεῖται, ἡ δὲ ΔΕ οὐχ ὁρᾶται ἀνατέλλουσα,
(ια) ἡ δὲ ΕΘ περιφέρεια ὑπὲρ ἥμισυ ζῳδίου περιφερείας ἀπέχουσα φαίνεται δύνουσα, ὥστε ἑσπερίαν δύσιν 20 ποιεῖται ἡ ΕΘ, ἡ δὲ ΔΗ ἑῴαν ἀνατολήν.

(ζ) Ἐπειδὴ ὑπὸ γῆν ἐστι πᾶσα.

(η) Δυνούσης γὰρ τῆς ΕΔ καὶ τοῦ Ε ὁρωμένου δύνοντος τὸ Η τὸ ἑπόμενον ἀνατέλλον ὁρᾶται, τοῦ προηγουμένου τοῦ Γ ὑπὲρ γῆν ὄντος· ὥστε ὅλη ὑπὲρ γῆν ὁρᾶται. ἀνατέλλουσα δὲ 25 οὐχ ὁρᾶται.

(θ) Διὰ τοῦ πρὸ αὐτοῦ.

(ι) Διὰ τὸ τὸν ἥλιον ὑπὲρ γῆν ὄντα ἀφανῆ αὐτὴν ποιεῖν· προανατέλλει γὰρ αὐτῆς.

(ια) Τοῦ γὰρ ἡλίου προηγουμένου αὐτῆς καὶ διὰ τοῦτο 30 προδύνοντος, ὅτε τὸ Ε δύνει, περιφέρεια ἡ ΕΘ φαίνεται δύνουσα, ἐπειδὴ τὸ Θ ὑπὲρ γῆν ἐστιν καὶ ἑπόμενον. καὶ ἀπέχει πᾶσα τοῦ ἡλίου ὑπὲρ ἥμισυ ζῳδίου.

ei opposita occidit, dum autem $\varepsilon\delta$ occidit, opposita oritur[1]); ergo circumferentia $\varepsilon\delta$ neque oriens neque occidens conspicitur, neque altera quae ei opposita est, sed totum supra terram motum apparentem faciens[2]).

II. Ex duodecim signis id quod illud antecedit, in quo est sol, mane oriens conspicitur, id autem quod sequitur vesperi occidens. Prop. 2



Sit zodiacus circulus $\alpha\beta$, horizon autem $\gamma\delta$, et dodecatemorii circumferentia auferatur $\varepsilon\delta$, in qua media sit sol, et antecedens soli dodecatemorion sit $\delta\eta$, sequens autem $\varepsilon\vartheta$; dico circumferentiam $\delta\eta$ matutinum ortum, circumferentiam autem $\varepsilon\vartheta$ vespertinum occasum facere.

Circumferentia enim $\delta\eta$, quoniam plus dimidiam signi circumferentiam distat, oriens conspicitur, itaque ortum matutinum facit, ipsa autem $\delta\varepsilon$ non conspicitur oriens, neque vero ipsa $\varepsilon\vartheta$ interdiu oriens conspicitur[3]). Sed dum mundus convertitur, circumferentia $\delta\eta$ ortum matutinum facit, ipsa autem $\delta\varepsilon$ non conspicitur oriens; denique circumferentia $\varepsilon\vartheta$ plus dimidii signi circumferentiam distans occidens apparet[4]); itaque $\varepsilon\vartheta$ occasum vespertinum facit, $\delta\eta$ autem ortum matutinum.

1) Eucl. phaenom. 11 (aliter scholio Graeco ς propositio 13 citatur).

2) Conf. σχόλιον η et in appendice 44.

FIGURA similis exstat in codicibus ACE, nisi quod ad quadrantem $\beta\delta$ adscriptae sunt litterae ϑ ε ζ, eaeque aequalibus fere inter β δ spatiis dispositae.

3) Conf. σχόλιον ι et in appendice 45.

4) Conf. σχόλιον ια et in appendice 46.

γ'. Ἐν τῷ τῆς νυκτος χρόνῳ ἕνδεκα ζῳδίων περιφέρεια θεωρεῖται, ἓξ μὲν τῶν προανατεταλκότων, πέντε δὲ τῶν ἀνατελλόντων.

Ἔστω τῶν ζῳδίων κύκλος ὁ ΑΒ, ὁρίζων δὲ ὁ ΓΔ, καὶ ἀφῃρήσθω ζῳδίου περιφέρεια ἡ ΓΕ, καὶ περὶ μέσην αὐτὴν ἔστω ὁ ἥλιος ἐπὶ τοῦ Ζ. ἐπεὶ οὖν ὑπόκειται τὰ ἄστρα ἐκφεύγειν τὰς τοῦ ἡλίου αὐγὰς τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ Ζ τόπου, δῆλον ὅτι τὸ Γ ἄστρον ἑσπερίαν φαινομένην δύσιν ποιεῖται. ὥστε ὅλον τὸ ΓΑΔ ἡμικύκλιον ἓξ ζῳδίων ἐστί· λοιπῶν ἄρα ἓξ ζῳδίων ὑπαρχόντων ἐν τῷ ΓΒΔ ἡμικυκλίῳ καὶ
(ιβ) ἑνὸς κατεχομένου τοῦ ΓΕ ὑπὸ τοῦ ἡλίου τὰ λοιπὰ πέντε ἀνατέλλοντά ἐστιν· ὥστε ἕνδεκα ζῴδια φαίνεται.



δ'. Τῶν ἀπλανῶν ἄστρων ὅσα ἀπολαμβάνεται ὑπὸ
(ιγ) τοῦ ζῳδιακοῦ ἐπὶ τὰ πρὸς ἄρκτον ἢ ἐπὶ τὰ πρὸς μεσημβρίαν μέρη, ἐκεῖνα ἀπὸ τῆς ἑῴας ἐπιτολῆς ἐπὶ τὴν ἑσπερίαν ἐπιτολὴν παρέσται διὰ πενταμήνου.

Ἔστω ὁρίζων τὸ φανερὸν καὶ τὸ ἀφανὲς ὁ ΑΒ, καὶ
(ιδ) τροπικοὶ μὲν ἔστωσαν οἱ ΓΔ ΕΖ, ἰσημερινὸς δὲ ὁ ΗΘ, ὁ δὲ τῶν ζῳδίων κύκλος ὁ ΚΗΛΘ, καὶ ἔστω ἐπὶ τῆς ἀνατολῆς τρία ἄστρα τὰ Μ Θ Ν· λέγω ὅτι τὰ Μ Θ Ν ἀπὸ ἑῴας ἀνατολῆς ἑσπερίαν ἀνατολὴν ποιεῖται διὰ πενταμήνου.

(ιβ) Καὶ μὴ φαινομένου διὰ τοῦ α'.

(ιγ) Τουτέστιν τοῦ ζῳδιακοῦ πρὸς ἄρκτους ἢ πρὸς μεσημβρίαν.

(ιδ) Τὰς διαμέτρους αὐτῶν λαμβάνει.

III. Nocturno tempore undecim signorum circumferentia[1]) conspicitur, sex quidem eorum quae antea orta sunt, quinque autem eorum quae oriuntur. Prop. 3

Sit zodiacus circulus $\alpha\beta$, horizon autem $\gamma\delta$, et auferatur unius signi circumferentia $\gamma\varepsilon$, in qua media, id est in puncto ζ, sit sol. Iam quia suppositum est astra solis radios effugere, cum sol est in loco ζ, manifesto astrum γ vespertinum occasum apparentem facit; ergo totus $\gamma\alpha\delta$ semicirculus sex signorum est. Cum igitur in semicirculo $\gamma\beta\delta$ reliqua sint sex signa, quorum unum $\gamma\varepsilon$ a sole occupatur[2]), reliqua quinque sunt orientia; ergo undecim signa apparent.

IV. Astrorum fixorum ea, quae a zodiaco sive ad septentrionales sive ad meridianas partes intercipiuntur[3]), a matutino ortu ad vespertinum ortum quinque mensium spatio pervenient. Prop. 4

Sit *circulus* $\alpha\beta$ apparentem et occultam *partem* distinguens, et tropici sint $\gamma\delta$ $\varepsilon\zeta$, aequinoctialis autem $\eta\vartheta$, zodiacus autem circulus $\kappa\eta\lambda\vartheta$, et tria astra μ ϑ ν in ortu sint; dico astra μ ϑ ν a matutino ortu vespertinum ortum facere intermisso quinque mensium *spatio*.

---

1) Hic intelligit circumferentiam dodecatimorium. AURIA in marg. p. 42 (Graeca scilicet περιφέρειαι θεωροῦνται interpretans: vide praefat. ad p. 112, 1. 2).

FIGURA similis exstat in codice E, nisi quod ibi litterae ζ ε aequalibus fere spatiis inter γ β dispositae sunt. In AC notae ζ ε desunt.

2) Autol. propos. 1 huius.

PROPOS. 4: conf. libri primi propos. 2.

3) 'Inerrantium astrorum, quaecunque quidem sub Zodiaco circulo vel ad partes Septentrionales, vel ad Meridionales sita sunt' vertit et in margine hoc scholium addit Auria: 'Zodiaco ·s· [*id est* scilicet] vel ad septentrionem vel ad Meridiem posito.' Conf. σχόλιον ιγ et indicem nostrum s. ἀπολαμβάνειν.

Ἀφῃρήσθω γὰρ ζῳδίου περιφέρεια ἡ ΘΞ, καὶ τετμήσθω δίχα κατὰ τὸ Ο, καὶ ἐπὶ τοῦ Ο ἔστω ὁ ἥλιος. νῦν μὲν δὴ ἑῴαν ἀνατολὴν ποιήσεται τὰ Μ Θ Ν, ὁ δὲ ἥλιος εἰς τὰ ἐναντία τῶν ζῳδίων κινούμενος πέντε
(ιε) ζῳδίων περιφέρειαν κεκινήσθω, καὶ ἔστω ἐπὶ τοῦ Π τόπου· ἀπὸ μὲν ἄρα τοῦ Ο τόπου ὁ ἥλιος κινηθήσεται
(ις) πέντε ζῳδίων περιφέρειαν, ἀπὸ δὲ τοῦ Η ἡμίσους
(ιζ) ζῳδίου περιφέρειαν, καὶ δύνοντος τοῦ Η τὰ Μ Θ Ν ἄστρα ἀπὸ ἑῴας ἀνατολῆς ἑσπερίαν ἀνατολὴν ποιεῖται.
(ιη) ε΄. Τοῖς οἰκοῦσι τὴν βόρειον ζώνην ἕκαστον τῶν
(ιθ) ἀπλανῶν ἄστρων τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ἑσπερίας τε καὶ ἑῴας δι' ἐνιαυτοῦ ποιεῖται.

Ἔστω ὁρίζων μὲν ὁ ΑΒ, τροπικοὶ δὲ οἱ ΓΔ ΕΖ, ἰσημερινὸς δὲ ὁ ΗΘ, ὁ δὲ τῶν ζῳδίων κύκλος ὁ ΚΗΛΘ, καὶ ἄστρον τι βορειότερον ἔστω τὸ Μ· λέγω ὅτι τὸ Μ ἄστρον ἀπὸ ἑῴας ἀνατολῆς ἐπὶ ἑῴαν ἀνατολὴν παρέσται δι' ἐνιαυτοῦ.

(ιε) Ὥστε τὴν ΠΗ ἡμίσους ζῳδίου εἶναι διὰ τὸ τὴν ΘΗ ς΄ ζῳδίων εἶναι.

(ις) Τουτέστιν ἀπὸ τοῦ Η ἡμίσους ζῳδίου περιφέρειαν ἀπέχων κινεῖται ἐπὶ τὸ Π.

(ιζ) Ὑπόκειται τὰ Μ Ν συνανατέλλοντα τῷ Θ καὶ ἀποδείκνυται μὲν περὶ τῶν Μ Ν, συναποδείκνυται δὲ καὶ περὶ τοῦ Θ τοῦ ἐπὶ τῶν ζῳδίων· οὐ γὰρ ἐμνημόνευσεν αὐτοῦ ἐν τῇ προτάσει.

(ιη) Βόρειον ζώνην καλεῖ τὸ ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ τὸν βόρειον πόλον διάστημα, ὅ ἐστιν ἡ καθ' ἡμᾶς οἰκουμένη. [καὶ τὰ ζ΄ κλίματα.]

(ιθ) Τὰς φαινομένας λέγει· διὰ γὰρ τὸ ς΄ τοῦ α΄ βιβλίου δῆλον ὅτι αἱ ἀληθιναὶ δι' ἐνιαυτοῦ ἔγγιστα ἐπιτελοῦνται.

FIGURA, quae in codicibus ACE ad quartam propos. adscripta est, intra circulum αηβθ rectas tantum, non curvas lineas exhibet. Quapropter Auria, qui hanc figurae formam repetit, in marg. p. 42 adnotat 'Diametros tantum accipit'.

1) Conf. σχόλιον ιε et in appendice 47.

2) Conf. ις et in app. 48. 3) Conf. ιζ et in app. 49.

Auferatur enim unius signi circumferentia $\vartheta\xi$, quae in o bifariam secetur, et sit sol in o. Iam sic quidem astra μ ϑ ν matutinum ortum facient, sol autem, in contrariam partem signorum se movens, quinque signorum circumferentiam percurrat, sitque in loco π[1]); ergo a loco o sol quinque signorum circumferentiam percurret, ab η autem dimidii signi circumferentiam[2]), et puncto η occidente astra μ ϑ ν a matutino ortu vespertinum ortum faciunt[3]).



V. Iis, qui zonam borealem[4]) incolunt, unumquodque astrorum fixorum et ortus et occasus vespertinos matutinosque[5]) intermisso annuo *spatio* facit. Prop. 5

Sit horizon $\alpha\beta$, tropici $\gamma\delta$ $\varepsilon\zeta$, aequinoctialis $\eta\vartheta$, zodiacus circulus $\kappa\eta\lambda\vartheta$, et sit astrum quoddam propius septentrionibus situm μ; dico astrum μ ab ortu matutino ad ortum matutinum intermisso annuo *spatio* perventurum esse.



4) Conf. *σχόλιον ιη* et in appendice 39.
5) Conf. *σχόλιον ιϑ* et in appendice 50.
FIGURAE duae, quae in codicibus ACE ad quintam propositionem adscriptae sunt, similes sunt ei, de qua ad prop. 4 (p. 114) diximus. Item Auria, qui una tantum figura utitur, rectas lineas intra circulum habet.

Ἀφῃρήσθω γὰρ ἥμισυ ζῳδίου ἡ ΘΝ, καὶ τοῦ ἡλίου ἐπὶ τοῦ Ν γενομένου τὸ Θ ἄστρον ἑῷον ἀνατελλέτω, καὶ τῇ ἑξῆς νυκτὶ ἀφῃρήσθω περιφέρεια ἡ ΝΞ, καὶ τῇ ΝΞ ἔστω ἴση ἡ ΟΘ, καὶ κοινὴ προσειλήφθω ἡ ΝΟ· ὅλη ἄρα ἡ ΞΟ ὅλῃ τῇ ΝΘ ἴση ἐστίν. ἡ δὲ ΝΘ ἡμίσους ἐστὶ ζῳδίου· καὶ ἡ ΞΟ ἄρα ἡμίσους ἐστὶ ζῳδίου περιφέρεια. καὶ ἐπεὶ τοῦ Ν προανατέλλει τὸ Θ, τῷ δὲ Θ ἅμα ἐστὶν συνανατέλλον τὸ Μ, πρό-
(κ) τερον ἄρα τὸ Μ τοῦ Ν ἀνατέλλει. καὶ τοῦτο αἰεὶ
(κα) ἔσται, ἕως ἂν ὁ ἥλιος ἐκπεριελθὼν ὅλην τὴν ΝΛΗΚΘ περιφέρειαν ἀφίκηται ἐπὶ τὸ Ν· ὥστε τὸ Μ ἄστρον ἀπὸ ἑῴας ἀνατολῆς ἐπὶ ἑῴαν ἀνατολὴν παρέσται δι'
(κβ) ἐνιαυτοῦ. τὸ αὐτὸ δὲ ἔσται καὶ ἐπὶ τῆς ἑσπερίας ἐπιτολῆς.

Πάλιν τῶν αὐτῶν ὑποκειμένων, ἐπεὶ τὸ Μ ἄστρον τοῦ Θ βορειότερόν ἐστιν ἅμα δὲ αὐτῷ συνανατέλλει,
(κγ) οὐχ ἅμα ἄρα αὐτῷ δύσεται. συνδύσεται οὖν τῷ Μ τῶν ἑπομένων τι τῷ Θ. συνδυνέτω τὸ Ν, καὶ τῷ Ν ἔστω κατὰ διάμετρον τὸ Ξ, καὶ ἀφῃρήσθω ἡμίσους
(κδ) ζῳδίου περιφέρεια ἡ ΞΟ· τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Ο

(κ) Ἀεὶ γὰρ τὴν ἑξῆς νύκτα διαπορευομένου τοῦ ἡλίου ἀεὶ τὸ Θ προανατέλλει ὡς ἡγούμενον. συνανατέλλει δὲ αὐτῷ τὸ Μ. ἀεὶ δὲ τοῦτο ἔσται ἐντὸς πενταμήνου, τουτέστι τῆς ἑσπερίας ἐπιτολῆς. λοιπὸν δὲ τὰς ἄλλας φάσεις ποιεῖται ἑῴαν δύσιν καὶ ἑσπερίαν δύσιν, ἕως οὗ ἐλθὼν ἐπὶ τὸ Ν ὁ ἥλιος τὴν ἑῴαν αὐτοῦ ἐπιτολὴν ποιεῖται, ὡς ἐν τοῖς ἑξῆς λέγει.

(κα) Καὶ ἐπὶ τοῦ κυνὸς καλεῖ· καθ' ἑκάστην γὰρ νύκτα φαίνεται ἀνατέλλων, ἕως ὁ ἥλιος ἐπὶ τὸ αὐτὸ φθάσῃ, ὅπου ὄντος αὐτοῦ ὁ κύων τὴν πρώτην ἑῴαν ἀνατολὴν ἐποιήσατο.

(κβ) Ἐπὶ τῆς ἑσπερίας ἐπιτολῆς ἡ δεῖξις εἰ γένοιτο, κατὰ τὰ ῥηθέντα τὴν περιφέρειαν ἀφαιροῦντες τῆς νυκτὸς ἣν ὁ ἥλιος διαπορεύεται * ἀφαιρουμένην ἐποιήσατο οὐχ ἣν μέλλει ποιεῖσθαι.

(κγ) Τὴν ἑῴαν αὐτοῦ δύσιν καὶ τὴν ἑσπερίαν λέγει.

(κδ) Τοῦ γὰρ Ξ ἀνατέλλοντος τὸ Ν δύνει. καὶ δύνει πρὶν τὸν ἥλιον ἀνατεῖλαι, ὅ ἐστιν ἑῴα αὐτοῦ δύσις.

Auferatur enim dimidii signi circumferentia $\vartheta\nu$, et, cum sol ad ν pervenerit, astrum ϑ matutinum oriatur, et proxima nocte auferatur circumferentia $\nu\xi$, et ipsi $\nu\xi$ aequalis sit $o\vartheta$, et communis adiungatur ipsa νo; ergo tota ξo toti $\nu\vartheta$ aequalis est. Circumferentia autem $\nu\vartheta$ dimidii signi est[1]); ergo etiam ξo dimidii signi est. Et quoniam astrum ϑ prius quam ν oritur[2]), simul autem cum ϑ astrum μ oritur, μ igitur prius quam ν oritur. Atque hoc semper fiet, donec sol, postquam omnem $\nu\lambda\eta\varkappa\vartheta$ circumferentiam percurrerit, ad ν perveniet[3]); itaque astrum μ ab ortu matutino ad ortum matutinum intermisso annuo *spatio* perveniet. Idem autem de vespertino ortu fiet.

Rursus iisdem suppositis, quia astrum μ propius septentrionibus est quam ϑ et simul cum eo oritur, non igitur simul cum eo occidet[4]). Iam simul cum μ astrum quoddam eorum quae sequuntur occidet. Simul occidat ν, et ipsi ν iuxta diametrum oppositum sit ξ, et auferatur dimidii signi circumferentia ξo; ergo, cum sol ad o pervenit, astrum ξ matutinum oritur, et ν matutinum occidit[5]); ergo etiam μ matutinum occidit. Sed diurno



1) Ut ponitur. AURIA in marg. p. 44.
2) Autol. de sphaera propos. 9.
3) Conf. σχόλιον κ et in appendice 51.
4) Autol. l. c.
5) Conf. σχόλιον κδ et in appendice 52.

(κε) γενομένου τὸ Ξ ἄστρον ἑῷον ἀνατέλλει, τὸ δὲ Ν ἑῷον δύνει· καὶ τὸ Μ ἄρα ἑῷον δύνει. ἐν δὲ τῷ τῆς ἡμέρας χρόνῳ ὁ ἥλιος διερχέσθω περιφέρειαν τὴν ΟΠ, καὶ τῇ ΠΟ ἴση ἔστω ἡ ΡΞ. κοινὴ προσειλήφθω ἡ ΡΟ· ἡ ἄρα ΞΟ ὅλη τῇ ΡΠ ἴση ἐστίν. ἡ δὲ ΞΟ ἡμίσους ζῳδίου περιφέρειά ἐστιν· καὶ ἡ ΡΠ ἄρα ἡμίσους ζῳδίου περιφέρειά ἐστιν· τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Π ὄντος τὸ Ρ ἑῷον ἀνατέλλει. καὶ προανατέλλει τὸ Ξ τοῦ Ρ, τοῦ δὲ Ξ ἀνατέλλοντος τὸ Ν ἑῷον δύνει, καὶ συνδύνει αὐτῷ τὸ Μ· τὸ Μ ἄρα ἑῷον δύνει τοῦ ἡλίου ἐπὶ τοῦ Π ὄντος. καὶ τοῦτο αἰεὶ ἔσται, ἕως ἂν ὁ ἥλιος ἐκπεριελθὼν ὅλον τὸν κύκλον ἀφίκηται ἐπὶ τὸ Ο δι' ἐνιαυτοῦ. τὸ αὐτὸ δὲ ἔσται καὶ ἐπὶ τῆς ἑσπερίας δύσεως.

ϛ'. Ἕκαστον τῶν ἐπὶ τοῦ ζῳδιακοῦ τεταγμένων ἄστρων ἀπὸ τῆς ἑῴας ἐπιτολῆς ἐπὶ τὴν ἑσπερίαν ἐπιτολὴν παραγίγνεται, ἀπὸ δὲ τῆς ἑσπερίας ἐπιτολῆς ἐπὶ τὴν ἑῴαν δύσιν παραγίγνεται, ἀπὸ δὲ τῆς ἑῴας δύσεως ἐπὶ τὴν ἑσπερίαν δύσιν, ἀπὸ δὲ τῆς ἑσπερίας δύσεως ἐπὶ τὴν ἑῴαν ἐπιτολήν, καὶ ἀπὸ μὲν τῆς ἑσπερίας δύσεως ἐπὶ τὴν ἑῴαν ἐπιτολὴν δι' ἡμερῶν λ', καὶ τοῦτον τὸν χρόνον οὔτε ἀνατέλλον οὔτε δῦνον ὁρᾶται, ἀπὸ δὲ τῆς ἑῴας ἐπιτολῆς ἐπὶ τὴν ἑσπερίαν ἐπιτολὴν διὰ πέντε μηνῶν παραγίγνεται, καὶ τοῦτον τὸν χρόνον ἀνατέλλον θεωρηθήσεται, ἀπὸ δὲ τῆς ἑσπερίας ἐπιτολῆς ἐπὶ τὴν ἑῴαν δύσιν παρέσται δι' ἡμερῶν λ', καὶ οὔτε ἀνατέλλον οὔτε δυόμενον φαίνεται, ἀπὸ δὲ τῆς ἑῴας δύσεως ἐπὶ τὴν ἑσπερίαν δύσιν διὰ πέντε μηνῶν παραγίγνεται, καὶ τοῦτον τὸν
(κϛ) χρόνον δυόμενον ὁρᾶται.

(κε) Τοῦ οὖν ἡλίου ἐπὶ τὸ Ξ γενομένου τὸ Ο ἑῷον ἀνατέλλει. προανατέλλει δὲ αὐτοῦ τὸ Ρ. συνανατέλλει δὲ τῷ Θ

tempore sol circumferentiam $o\pi$ percurrat, et ipsi $o\pi$ aequalis sit $\varrho\xi$. Communis adiungatur ipsa ϱo; ergo *tota* ξo toti $\varrho\pi$ aequalis est. Sed ξo dimidii signi circumferentia est; ergo etiam $\varrho\pi$ dimidii signi circumferentia est; ergo, cum sol est ad π, punctum ϱ matutinum oritur. Et ξ prius quam ϱ oritur, et ipso ξ oriente occidit ν matutinum, et simul cum eo μ occidit; ergo μ matutinum occidit, cum sol est ad π. Atque hoc semper fiet, donec sol, postquam totum circulum percurrerit, ad o perveniet annuo *spatio*. Idem autem de vespertino occasu fiet.

Prop. 6

VI. Unumquodque astrorum, quae in zodiaco posita sunt, ab ortu matutino ad ortum vespertinum pervenit, tum ab ortu vespertino ad occasum matutinum, deinde ab occasu matutino ad occasum vespertinum, denique ab occasu vespertino ad ortum matutinum, et ab occasu quidem vespertino ad ortum matutinum XXX diebus, quo temporis spatio neque oriens neque occidens conspicitur, ab ortu autem matutino ad ortum vespertinum quinque mensibus pervenit, quo tempore oriens conspicietur, ab ortu autem vespertino ad occasum matutinum XXX diebus perveniet, quo tempore neque oriens neque occidens apparet, denique ab occasu matutino ad occasum vespertinum quinque mensibus pervenit, quo tempore occidens conspicitur.

τὸ M. καὶ οὕτως ἕως οὗ ἐπὶ τὸ M ἀφίκηται ὁ ἥλιος, ἡ ἀπόδειξις πρόεισιν, ὥστε φαίνεσθαι μὲν τὸ πρὸ τοῦ ἐν ᾧ ἐστιν ὁ ἥλιος ἑῷον, τὸ δὲ M μόνον φαίνεσθαι μετὰ τὸ φανῆναι ἑῷον, ἕως οὗ ἐνιαυτοῦ παρελθόντος, ὅταν ὁ ἥλιος ἐπὶ τὸ H ἔλθῃ, πάλιν ἑῷον φανῇ.

(κς) Ὡς δὲ καὶ τοῦτο ἀεὶ ἔσται ἕως τοῦ ζ' εἰρηκὼς ἡρμήνευσε, καὶ τὸ ἄνω πῶς εἴρηται, ἐν τοῖς πρὸ αὐτοῦ.

Ἔστω ὁρίζων ὁ ΑΒ τὸ φανερὸν καὶ τὸ ἀφανὲς τῆς σφαίρας, ζῳδιακὸς δὲ ὁ ΓΔ, καὶ ἄστρον τι ἔστω ἐπὶ τῆς ἀνατολῆς τὸ Δ, καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΔΕ, καὶ πάλιν ἡ ΖΓ καὶ ἡ ΓΗ καὶ ἡ ΘΔ· φανερὸν δὴ ὅτι τοῦ ἡλίου ἐπὶ τοῦ Ε σημείου ὄντος τὸ Δ ἄστρον ἑῴαν ἐπιτολὴν ποιεῖται. ἔστω δὲ ἣν πορεύεται ὁ ἥλιος ἐν τῇ νυκτὶ περιφέρεια ἡ ΕΚ, καὶ τῇ ΕΚ ἴση ἀπειλήφθω ἡ ΔΛ,



καὶ κοινὴ ἡ ΛΕ· ὅλη ἄρα ἡ ΔΕ ὅλῃ τῇ ΛΚ ἴση ἐστίν. ἡμίσους δὲ ζῳδίου ἐστὶν ἡ ΔΕ· ἡμίσους ἄρα καὶ ἡ ΛΚ· τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Δ ἄστρον ἐπιτελλόμενον ὁρᾶται ἑῷον. καὶ προανατέλλει αὐτοῦ τὸ Δ. καὶ τοῦτο αἰεὶ ἔσται ἕως ἂν ὁ ἥλιος ἀφίκηται ἐπὶ τὸ Ζ σημεῖον. καὶ γενομένου ἐπὶ τὸ Ζ καὶ ἀπέχοντος (κζ) ἡμίσους ζῳδίου περιφέρειαν τὴν ΓΖ, τὸ Δ ἄστρον ἑσπερίαν ἐπιτολὴν ποιεῖται· τὸ ἄρα Δ ἄστρον ἀπὸ ἑῴας ἐπιτολῆς ἐπὶ ἑσπερίαν ἐπιτολὴν παραγίγνεται διὰ πενταμήνου· πέντε γὰρ ζῳδίων ἐστὶν ἡ ΕΖ περιφέρεια, καὶ φανερὸν ὅτι πέντε ζῴδια διὰ πενταμήνου διέρχεται.

(κζ) Τοῦ γὰρ ἡλίου ἐπὶ τοῦ Ζ ὄντος, τοῦ Γ ἐστὶν ἑσπερία δύσις. τοῦ δὲ Γ δύνοντος τὸ Δ ἀνατέλλει· τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Ζ ὄντος, τοῦ Δ ἑσπερία ἐπιτολή ἐστιν.

FIGURA similis exstat in codicibus ACE, nisi quod in AC zodiacus eandem positionem habet quam in superioribus figuris

Sit *circulus* $\alpha\beta$ apparentem et occultam sphaerae *partem* distinguens, zodiacus autem $\gamma\delta$, et astrum aliquod δ sit in ortu[1]), et auferatur dimidii signi circumferentia $\delta\varepsilon$, ac rursus $\zeta\gamma$ et $\gamma\eta$ et $\vartheta\delta$; apparet igitur, dum sol est in puncto ε, astrum δ ortum matutinum facere[2]). Sit autem ea quam sol noctu percurrit circumferentia $\varepsilon\varkappa$, et ipsi $\varepsilon\varkappa$ aequalis auferatur $\delta\lambda$, et communis *addatur* $\lambda\varepsilon$; tota igitur $\delta\varepsilon$ toti $\lambda\varkappa$ aequalis est. Sed dimidii signi est $\delta\varepsilon$[3]); ergo etiam $\lambda\varkappa$ dimidii signi est; itaque, cum sol est in puncto $\varkappa$, astrum λ matutinum oriens conspicitur. Et prius quam λ oritur δ. Idque semper fiet, quoad sol ad punctum ζ perveniet[4]). Et cum *sol* ad ζ accessit circumferentiaque $\gamma\zeta$, quae est dimidii signi, distat[5]), astrum δ ortum vespertinum facit[6]); ergo astrum δ ab ortu matutino ad ortum vespertinum quinque mensibus pervenit; nam quinque signorum est circumferentia $\varepsilon\zeta$, atque apparet quinque signa quinque mensibus percurri[7]).

---

quae ad propos. 5 adscriptae sunt. Notas ἑῴα [ἑώα AC] δύσις etc. om. E itemque Auria. In A vox ἑσπερία ante ἀνατολή corrupta est.

1) Partes orientales sint versus δ: occidentales versus γ. AURIA in marg. p. 47.

2) Apparentem ortum matutinum hoc loco intellegendum esse significat Auria definitionem 6 libri primi in marg. p. 47 citans.

3) Ut ponitur. AURIA ibidem.

4) Lege scho. 2 in 5 huius libri 2. AURIA ibidem [id est in appendice huius editionis scholium 51].

5) Grad. 15. AURIA ibidem.

6) Apparentem ortum vespertinum significari similiter ac supra (adn. 2) adnotat Auria. Praeterea vide σχόλιον κζ et in appendice 53.

7) Conf. in appendice scholium 54.

Ὁμοίως δὴ δειχθήσεται καὶ τὰ λοιπὰ τὰ διὰ τῆς προτάσεως. ἀκολούθως γὰρ τὴν ΖΓΗ περιφέρειαν διελ-
(κη) θὼν ὁ ἥλιος ἑνὸς ζῳδίου οὖσαν τὴν ἑῴαν δύσιν ποιεῖ τῷ Δ ἄστρῳ· καὶ φανερὸν ὡς διὰ ἡμερῶν τριάκοντα. ἔτι δὲ τὴν ΗΘ διελθὼν πέντε ζῳδίων οὖσαν τὴν 5
(κθ) ἑσπερίαν δύσιν ποιεῖ τῷ Δ ἄστρῳ καὶ διὰ μηνῶν πέντε. πάλιν δὲ τὴν ΘΔΕ ὁ ἥλιος διερχόμενος καὶ ἐπὶ τὸ Ε παραγενόμενος τὴν ἑῴαν ἀνατολὴν ποιεῖ τῷ Δ ἄστρῳ καὶ διὰ ἡμερῶν λ΄· ἑνὸς γὰρ ζῳδίου δίεισιν περιφέρειαν. 10

(λ) ζ. Ὅσα ἀπολαμβάνεται ὑπὸ τοῦ ζῳδιακοῦ ἐπὶ τὰ
(λα) πρὸς ἄρκτους, ἐκείνων αἱ ἑῷαι δύσεις τῶν ἑῴων ἐπιτολῶν προηγοῦνται, ὅσα δὲ ἀπολαμβάνεται ὑπὸ τοῦ ζῳδιακοῦ ἐπὶ τὰ πρὸς μεσημβρίαν, ἐκείνων αἱ ἑῷαι ἐπιτολαὶ τῶν ἑῴων δύσεων προηγοῦνται. 15

Ἔστω ὁρίζων ὁ ΑΒ, ὁ δὲ τῶν ζῳδίων κύκλος ὁ

(κη) Τοῦ γὰρ ἡλίου ὄντος ἐπὶ τοῦ Η, τοῦ παντὸς περιενεχθέντος τοῦ Γ ἄστρου ἐστὶν ἡ ἑῴα ἐπιτολή. τοῦ δὲ Γ ἀνατέλλοντος τὸ Δ δύνει· τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Η ὄντος, τοῦ Δ ἡ ἑῴα δύσις, καὶ οὔτε ἀνατέλλον οὔτε δυνόμενον ὁρᾶται τὸ Δ, 20 ἐν ὅσῳ τὴν ΖΗ περιφέρειαν ὁ ἥλιος διαπορεύεται, τουτέστι τὰς λ΄ ἡμέρας. ἐπειδὴ προελθόντος αὐτοῦ ἀπὸ τοῦ Ζ, οὐκέτι ἀπέχον τὸ Γ ιε΄ μοίρας οὐ φαίνεται τὴν ἑσπερίαν δύσιν ποιούμενον, ὥστε οὐδὲ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ τὴν ἑσπερίαν ἐπιτολὴν φαίνεται ποιούμενον. πάλιν τοῦ ἡλίου πρὸ τοῦ Η ὄντος τὸ Γ 25 μὴ ἀπέχον τὰς ιε΄ μοίρας οὐ φαίνεται τὴν ἑῴαν ἐπιτολὴν ποιούμενον· οὐκοῦν οὐδὲ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ τὴν ἑῴαν δύσιν ποιούμενον.

(κθ) Τοῦ γὰρ ἡλίου ἐπὶ τοῦ Θ ὄντος καὶ περιενεχθέντος τοῦ παντὸς καὶ τοῦ Θ κατὰ τὸ Ζ γενομένου τοῦ δὲ Δ κατὰ 30 τὸ Γ, τοῦ Δ ἔσται ἑσπερία δύσις.

(λ) Ἐν τούτῳ περὶ ἑῴας δύσεως λέγει καὶ περὶ ἑῴας ἐπιτολῆς.

(λα) Ἀντὶ τοῦ εἰς τὰ προηγούμενα μέρη τῶν ἑῴων ἐπιτολῶν γίνονται αἱ ἑῷαι δύσεις. 35

Iam similiter reliqua etiam quae propositio continet demonstrabuntur. Nam deinceps sol, cum circumferentiam $\zeta\gamma\eta$, quae est unius signi[1]), percucurrit, astro δ occasum matutinum[2]) efficit, id quod diebus triginta *fieri* apparet[3]). Porro, postquam circumferentiam $\eta\vartheta$, quae est quinque signorum, percucurrit, astro δ occasum vespertinum, idque quinque mensibus, efficit[4]). Rursus circumferentiam $\vartheta\delta\varepsilon$ sol percurrens, cum ad ε pervenit, matutinum ortum astro δ efficit, idque triginta diebus[5]); unius enim signi circumferentiam absolvit[6]).



Prop. 7

VII. Quaecunque *astra* a zodiaco septentrionem versus intercipiuntur, eorum occasus matutini antecedunt ortus matutinos; quaecunque autem a zodiaco meridiem versus intercipiuntur, eorum ortus matutini antecedunt occasus matutinos.

Sit horizon $\alpha\beta$, zodiacus autem circulus $\gamma\delta$, et

---

1) Grad. 30. AURIA in marg. p. 47.

2) Apparentem scilicet, per defin. 7 libri primi, ut Auria adnotat. Similiter paulo post, ubi de vespertino occasu agitur, definitionem 9 citat.

3) Conf. σχόλιον κη et in appendice 55.

4) Conf. σχόλιον κϑ et in appendice 56.

5) Ut annotatum est in schol. 2 [id est in append. schol. 54] in hanc proposit. AURIA in marg. p. 48.

6) Conf. in appendice scholium 57.

ΓΔ, καὶ ἄστρον τι ἐπὶ τῆς ἀνατολῆς ἔστω τὸ Δ, βορειότερον δὲ τὸ Η· τὸ ἄρα Δ ἄστρον τῷ Η ἄστρῳ ἅμα μὲν ἀνατέλλει, οὐχ ἅμα δὲ δύνει· ὥστε τῶν ἑπομένων τινὶ τῷ Δ ἄστρῳ τὸ Η συνδύσεται. συνδυνέτω τῷ Θ, καὶ ἔστω τῷ Θ κατὰ διάμετρον τὸ Ε, καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΔΚ, καὶ ἔτι ἡ ΕΛ. καὶ ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Δ ἑῷον (λβ) ἀνατέλλει, τῷ δὲ Δ ἅμα ἀνατέλλει τὸ Η, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Η ἑῷον ἀνατέλλει. πάλιν ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Λ τόπου ὄντος τὸ Ε ἑῷον ἀνατέλλει, τοῦ δὲ Ε ἀνατέλλοντος τὸ Θ δύνει [καὶ τὸ Η], τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Λ ὄντος τὸ Η ἑῷον δύνει· συνδύνει γὰρ τὸ Η τῷ Θ. ἀλλὰ καὶ ἐπὶ τοῦ Κ ὄντος ἑῷον ἀνατέλλει· ὥστε ἐν ᾧ ὁ ἥλιος τὴν ΚΓΕΛ περιφέρειαν δίεισιν, (λγ) τὸ Η ἄστρον ἑῷον δύνει. καὶ ἔστι μείζων ἡ ΚΓΕΛ περιφέρεια τῆς ΛΔΚ περιφερείας, καὶ προηγεῖται τὸ Λ (λδ) τοῦ Κ· ἀπὸ ἄρα ἑῴας ἀνατολῆς ἐπὶ ἑῴαν δύσιν παρα-



(λβ) Καὶ εἴρηται δὲ ὡς τοῦ Η ἡ ἑῴα ἀνατολή.

(λγ) Ἐπεὶ γὰρ ἡ ΕΛ τῇ ΔΚ ἴση, ἡ δὲ ΕΛΔ ἐλάττων ἡμικυκλίου, καὶ ἡ ΛΔΚ ἄρα ἐλάττων ἡμικυκλίου· ὥστε ἡ λοιπὴ ἡ ΚΓΕΛ μείζων ἡμικυκλίου.

(λδ) Τὸ ὕστερον λέγει ἀντὶ τοῦ βραδύτερον καὶ διὰ πλείονος χρόνου, τὸ δὲ πρότερον ἀντὶ τοῦ θᾶττον καὶ δι' ἐλάσσονος χρόνου.

astrum aliquod in ortu sit δ[1]), et magis septentrionem versus η; ergo astrum δ simul cum astro η oritur, neque tamen simul occidit[2]); itaque astrum η simul cum aliquo eorum quae astrum δ sequuntur occidet. Occidat simul cum ϑ, et ipsi ϑ iuxta diametrum oppositum sit ε, et auferatur dimidii signi circumferentia $\delta\varkappa$, itemque $\varepsilon\lambda$. Et quia, cum sol est in $\varkappa$, astrum δ matutinum oritur, ac simul cum δ oritur η, cum igitur sol est in $\varkappa$, matutinum oritur η. Rursus quia, cum sol in loco λ est, ε matutinum oritur, oriente autem ε occidit ϑ[3]), cum igitur sol in λ est, η matutinum occidit; nam η simul cum ϑ occidere *suppositum est*[4]). Sed, cum *sol* est in $\varkappa$, idem η matutinum oritur[5]); itaque, cum sol circumferentiam $\varkappa\gamma\varepsilon\lambda$ percurrit[6]), astrum η matutinum occidit. Et maior est circumferentia $\varkappa\gamma\varepsilon\lambda$ quam $\lambda\delta\varkappa$[7]), atque astrum λ ipsum $\varkappa$ antecedit; ergo *astrum* η ab ortu matutino ad occasum

---

FIGURA similis exstat in codicibus ACE, nisi quod zodiacus eandem positionem habet quam in figuris theorematis 5. Notas ἑῷον [ἑῶον AC] δύνει τὸ η̄ etc. om. E. Pro η̄ C utroque loco exhibet η̄

1) Partes orientales sint versus δ punctum, occidentales versus γ: septentrio in α et meridies in β puncto. AURIA in marg. p. 50.

2) Autol. de sphaer. 9.

3) Eucl. phaenom. 6.

4) Haec quae Graecis συνδύνει γὰρ τὸ Η τῷ Θ respondent Auria in versione sua omittit, addit autem in margine 'Quoniam suppositum est cum astro F [id est ϑ] simul occidere'.

5) Conf. initium demonstrationis quae propositionem 6 sequitur (p. 120).

6) A motu mundi ab ortu ad occasum. AURIA in marg. p. 50.

7) Vide σχόλιον λγ et in appendice 58.

γίγνεται ὕστερον, καὶ ἀπὸ ἑῴας δύσεως ἐπὶ ἑῴαν ἀνατολὴν πρότερον.

Πάλιν ἔστω ἐπὶ τῆς ἀνατολῆς νοτιώτερον τὸ Μ ἄστρον. καὶ ἐπεὶ τὸ Μ ἄστρον τῷ μὲν Δ ἄστρῳ ἅμα ἀνατέλλον πρότερον δύνει, τῶν προηγουμένων τινὶ αὐτοῦ τὸ Μ συνδύσεται. συνδυνέτω τῷ Ν, καὶ ἔστω
(λε) τῷ Ν κατὰ διάμετρον τὸ Ξ, καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΞΟ. καὶ ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Δ ἑῷον ἀνατέλλει, καὶ τὸ Μ ἑῷον
(λς) ἀνατέλλει. πάλιν ἐπεὶ τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ Ο τὸ μὲν Ξ ἑῷον ἀνατέλλει, τὸ ἄρα Ν δύνει. τοῦ δὲ Ν δύνοντος καὶ τὸ Μ δύνει, ὥστε καὶ τοῦ ἡλίου ἐπὶ τοῦ Ο ὄντος τὸ Μ ἑῷον δύνει. ἀλλὰ μὴν καὶ ἐπὶ
(λζ) τοῦ Κ ὄντος ἑῷον ἀνέτελλεν. καὶ ἔστιν ἐλάττων ὁ

(λε) Ὅταν ὑπάρχῃ κατὰ διάμετρον τὰ ἄστρα, οὐκ ἔστιν εἰπεῖν ποῖόν ἐστι τὸ προηγούμενον. ἐὰν γὰρ κατὰ τὴν κίνησιν τοῦ παντὸς ὡς ἀπὸ ἀνατολῆς ἐπὶ δυσμὰς λάβωμεν τὸ ἀνατολικώτερον ἡγούμενον, εἶτα ἀρξάμενοι ἀπὸ τοῦ μετὰ τὸ ἐπὶ τῆς ἀνατολῆς ὄντος ἐπεξίωμεν ἕως τοῦ ἡμικυκλίου, τόδε τοῦδε ἡγεῖται καὶ [τόδε τοῦδε ἡγεῖται] τὸ μὲν ἐπὶ τῆς ἀνατολῆς ἑπόμενον, τὸ δὲ ἐπὶ τῆς δύσεως ἡγούμενον. τὸ κατόπιν δὲ πάλιν τοῦ ἐπὶ τῆς ἀνατολῆς ὄντος λαβόντες ὡς ἑπόμενον (οὕτω γὰρ καὶ κατὰ τὴν τοῦ παντὸς κίνησιν), ἐὰν ἐπεξίωμεν ἕως τοῦ ἡμικυκλίου [καὶ τοῦ εὐωνύμου], τόδε τῷδε ἕπεται ⟨καὶ⟩ ἔσται ἑπόμενον τὸ ἐν τῇ δύσει τῷ ἐν τῇ ἀνατολῇ. ἢν δὲ καὶ ἡγούμενον τοῦ αὐτοῦ. εἰ δὲ μείζων εἴη ἡμικυκλίου περιφέρεια, τότε δῆλον γίνεται τὸ προηγούμενον ἐκ τῆς τοῦ παντὸς κινήσεως· τὸ μὲν γὰρ ἔλαττον ἀπέχον κατὰ τὰ ἑπόμενα ἡμικύκλια τὸ ἑπόμενόν ἐστι, τὸ δὲ πλέον ἀπέχον κατὰ τὰ ἑπόμενα ἡγούμενον κατὰ τὴν θέσιν τῶν ζῳδίων. κατὰ τὰ ἑπόμενα λαμβάνονται ἡμῖν, ὅ ἐστι μετὰ τὴν κίνησιν τῶν ζῳδίων ϟ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς.

(λς) Περιενεχθέντος τοῦ παντὸς καὶ τοῦ Γ ἐπὶ τοῦ Δ γενομένου, τοῦ δὲ Ξ ἐπὶ τοῦ Ν.

(λζ) Τουτέστι τοῦ χρόνου, ἐν ᾧ τὴν ΟΓΚ περιφέρειαν διαπορεύεται.

matutinum posterius, et ab occasu matutino ad ortum matutinum prius pervenit[1]).

Rursus sit in ortu magis meridiem versus astrum μ. Et quia astrum μ, simul cum δ oriens, prius occidit[2]), cum aliquo eorum quae ipsum δ antecedunt astrum μ occidet. Occidat simul cum ν, et ipsi ν iuxta diametrum oppositum sit ξ, et auferatur dimidii signi circumferentia ξo. Et quia, cum sol in $\varkappa$ est, astrum δ matutinum oritur, astrum quoque μ matutinum oritur. Rursus quia, cum sol est in o, astrum ξ matutinum oritur, astrum igitur ν occidit[3]). Sed occidente ν occidit etiam μ[4]); itaque, cum sol est in o, astrum μ matutinum occidit. Verum etiam, cum sol in $\varkappa$ erat, ipsum μ matutinum oriebatur.



1) Posterius, id est tardius et maiori temporis spatio: prius, id est citius et minori tempore. AURIA in marg. p. 50. Et conf. scholium Graecum $\lambda\delta$.

2) Autol. de sphaer. 9.

3) Eucl. phaenom. 6.

4) Supponitur enim ipsum ν simul occidere cum ipso μ astro. AURIA in marg. p. 51.

χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΚΟ περιφέρειαν διέρχεται,
(λη) καὶ προηγεῖται τὸ Κ τοῦ Ο· ἀπὸ ἄρα τῆς ἑῴας δύσεως
ἐπὶ ἑῴαν ἀνατολὴν παρέσται ὕστερον, καὶ ἀπὸ ἑῴας
ἀνατολῆς ἐπὶ ἑῴαν δύσιν πρότερον.

(λθ) η'. Ὅσα ἀπολαμβάνεται ὑπὸ τοῦ ζῳδιακοῦ κατὰ 5
τὰς ἀνατολὰς ἐπὶ τὰ πρὸς ἄρκτους, ἐκείνων αἱ ἑσπέριαι
δύσεις προηγοῦνται τῶν ἑσπερίων ἐπιτολῶν, ὅσα δὲ
πρὸς μεσημβρίαν ὑπὸ τοῦ ζῳδιακοῦ ἀπολαμβάνεται,
ἐκείνων αἱ ἑσπέριαι ἀνατολαὶ προηγοῦνται τῶν ἑσπε-
ρίων δύσεων. 10

Ἔστω ὁρίζων ὁ ΑΒ καὶ ὁ τῶν ζῳδίων κύκλος ὁ
ΓΔ, καὶ ἄστρον τι ἐπὶ τῆς ἀνατολῆς ἐπὶ τὰ πρὸς
ἄρκτους ἔστω τὸ Η· τὸ ἄρα Η ἅμα μὲν τῷ Δ ἀνα-
τέλλει, οὐχ ἅμα δὲ δύνει· τῶν ἄρα ἑπομένων τινὶ
τῷ Δ ἄστρῳ συνδύσεται τὸ Η. συνδυνέτω τῷ Θ, 15
(μ) καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΘΚ, καὶ
ἔτι ἡ ΓΛ. ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Θ
ἑσπέριον δύνει, τοῦ δὲ Θ δύνοντος καὶ τὸ Η δύνει,

(λη) Τὰ ζῴδια ἀπὸ δυσμῶν ἐπὶ ἀνατολὰς τὴν θέσιν ἔχει. οἷον ἔστω κριὸς ἐπὶ τῶν δυσμῶν. μετὰ αὐτόν ἐστι ταῦρος ἐπὶ 20 ἀνατολάς, εἶτα δίδυμοι ἐπὶ ἀνατολὰς καὶ ἑξῆς ὁμοίως πάντα. καὶ ἔστιν ἑπόμενα μὲν τὰ ὑποδεχόμενα τὸν ἥλιον, οἷον ἀπὸ κριοῦ ὁ ταῦρος τῷ κριῷ ἑπόμενος, ἀπὸ ταύρου δίδυμοι τῷ ταύρῳ ἑπόμενοι, ἡγούμενα δὲ κατὰ τὴν κίνησιν τοῦ παντὸς ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς. ὡς διδύμους ἡγεῖσθαι τοῦ ταύρου 25 καὶ ταῦρον κριοῦ.

(λθ) Ἐν τούτῳ καὶ περὶ ἑσπερίας δύσεως καὶ ἑσπερίας ἐπιτολῆς.

(μ) Ἄν τε δὲ ἡμίσους ζῳδίου περιφέρεια εἴη ἡ ΚΘ, ἄν τε ὑπερπίπτῃ τὴν ΔΘ, ἄν τε ἐλάττων ᾖ τῆς ΔΘ, ἢ ὡς ἡ ΔΚ, 30 προβαίνει τὸ θεώρημα, ἐπειδὴ τὸ Δ ιε' μοίρας ἐφ' ἑκάστου ἀπέχον ἑῷον ἐπιτέλλει.

1) Minus tempus scilicet eo tempore, in quo circumferentiam κνγο pertransit. AURIA ibidem [κνγο transscripsimus ex *HNCEQ*, quae notatio ex Auriae ratione respondeat Graecae κνγηο]. Conf. Graecum scholium λζ.

Et minus est tempus, quo sol circumferentiam *κο* percurrit[1]), atque astrum *κ* ipsum *ο* antecedit[2]); ergo *astrum* *μ* ab occasu matutino ad ortum matutinum posterius, et ab ortu matutino ad occasum matutinum prius perveniet.

Prop. 8

VIII. Quaecunque *astra* a zodiaco in orientis parte septentrionem versus intercipiuntur, eorum occasus vespertini antecedunt ortus vespertinos; quaecunque autem meridiem versus a zodiaco intercipiuntur, eorum ortus vespertini antecedunt occasus vespertinos.

Sit horizon *αβ* et zodiacus circulus *γδ*, et astrum aliquod in ortu septentrionem versus sit *η*; ergo astrum *η* simul cum *δ* oritur, neque tamen simul occidit[3]); ergo astrum *η* simul cum aliquo eorum quae astrum *δ* sequuntur occidet. Occidat simul cum *ϑ*, et auferatur dimidii signi[4]) circumferentia *ϑκ*, itemque *γλ*. Quia, cum sol in *κ* est, astrum *ϑ* vespertinum occidit, occidente autem *ϑ* etiam astrum *η* occidit[5]), astrum igitur *η*, cum sol



2) Conf. *σχόλιον λη* et in appendice 59.

FIGURA similis exstat in codicibus ACE, nisi quod zodiacus eandem positionem habet quam in figuris theorematis 5. Ad dexteram partem superiorem in C, ac minus distincte in A, adscripta sunt *ἑσπέριον δύνει τὸ* $\bar{\mu}$, ad inferiorem *ἑσπέριον δύνει τὸ* $\bar{\eta}$, denique ad sinistram partem inferiorem in C *ἑσπέριον ἐπιτέλλει τὸ* $\bar{\nu}$, in A *ἑῶον ἐπιτέλλει τὸ* $\bar{\eta}$.

3) Autol. de sphaer. 9.

4) Grad. 15. AURIA in marg. p. 52.

5) Supponitur enim cum *ϑ* simul occidere. IDEM.

τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Η ἑσπέριον δύνει.
(μα) πάλιν ἐπεὶ τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ Λ τὸ Γ ἑσπέριον δύνει, τοῦ δὲ Γ δύνοντος τὸ Η ἑσπέριον ἀνατέλλει, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Λ ὄντος τὸ Η ἑσπέριον ἀνατέλλει· μείζων ἄρα ὁ χρόνος ἐν ᾧ ὁ ἥλιος τὴν ΛΔΚ 5 περιφέρειαν διέρχεται ἢ τὴν ΚΛ· ἀπὸ ἄρα τῆς ἑσπερίας ἀνατολῆς ἐπὶ τὴν ἑσπέριαν δύσιν παραγίγνεται ὕστερον, καὶ ἀπὸ τῆς ἑσπερίας δύσεως ἐπὶ τὴν ἑσπερίαν ἀνατολὴν πρότερον.

Πάλιν εἰλήφθω ἄστρον πρὸς μεσημβρίαν τὸ Μ. 10 καὶ ἐπεὶ οὐχ ἅμα μὲν τῷ Δ τὸ Μ δύνει, ἅμα δὲ ἀνατέλλει, ὥστε συνδύσεται τῶν ἡγουμένων τινὶ τοῦ Δ. συνδυνέτω τῷ Ξ, καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΝΞ. ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Ν ὄντος τὸ Ξ ἑσπέριον δύνει, τοῦ δὲ Ξ δύνοντος τὸ Μ δύνει, τοῦ 15 ἄρα ἡλίου ἐπὶ τοῦ Ν ὄντος τὸ Μ ἑσπέριον δύνει. πάλιν ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Λ ὄντος τὸ Γ ἑσπέριον δύνει, τοῦ δὲ Γ δύνοντος τὸ Δ ἑσπέριον ἀνατέλλει, καὶ τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Λ ὄντος τὸ Δ ἑσπέριον ἀνατέλλει. συναναστέλλει δὲ τὸ Δ τῷ Μ· ὥστε κατὰ 20 μὲν τοῦ Λ ὄντος τοῦ ἡλίου τὸ Μ ἑσπέριον ἀνατέλλει,
(μβ) κατὰ δὲ τοῦ Ν ἑσπέριον δύνει. καὶ ἔστιν ἡ ΛΓΝ περιφέρεια τῆς ΝΔΛ ἐλάσσων· ἀπὸ ἄρα τῆς ἑσπερίας δύσεως ἐπὶ τὴν ἑσπερίαν ἀνατολὴν παραγίγνεται ὕστε-

---

(μα) Ὡς κεῖται ὁ ζῳδιακὸς μὴ περιγραφείς. 25

(μβ) Ἐπεὶ γὰρ ἡ ΛΓ τῇ ΝΞ ἐστὶν ἴση, ἡ δὲ ΓΝΞ ἐλάττων ἡμικυκλίου, καὶ ἡ ΛΓΝ ἄρα ἐλάττων ἡμικυκλίου· ὥστε ἡ λοιπὴ ἡ ΝΔΛ μείζων ἡμικυκλίου.

---

1) Conf. in appendice scholium 60.

2) Partes orientales sint in δ puncto, occidentales in γ: septentrio sit α, et meridies β. AURIA in marg. p. 53.

in $\varkappa$ est, vespertinum occidit. Rursus quia, cum sol in λ est, astrum γ vespertinum occidit, occidente autem γ astrum η vespertinum oritur[1]), astrum igitur η, cum sol in λ est, vespertinum oritur; maius igitur est tempus quo sol circumferentiam $\lambda\delta\varkappa$, quam quo ipsam $\varkappa\lambda$, percurrit; ergo *astrum* η ab ortu vespertino ad occasum vespertinum posterius, et ab occasu vespertino ad ortum vespertinum prius pervenit.

Rursus sumatur astrum μ meridiem versus[2]). Et



quia astrum μ simul cum δ oritur, neque tamen occidit[3]), igitur simul cum aliquo eorum quae ipsum δ antecedunt occidet. Occidat simul cum ξ, et auferatur dimidii signi circumferentia $\nu\xi$. Quia, cum sol in ν est, astrum ξ vespertinum occidit, et occidente ξ astrum μ occidit[4]), astrum igitur μ, cum sol in ν est, vespertinum occidit. Rursus quia, cum sol in λ est, astrum γ vespertinum occidit, et occidente γ astrum δ vespertinum oritur[5]), astrum igitur δ, cum sol in λ est, vespertinum oritur. Sed δ simul cum ipso μ oritur; itaque astrum μ, cum sol in λ quidem puncto est, vespertinum oritur, cum autem in ν est, vespertinum occidit. Et minor est circumferentia $\lambda\gamma\nu$ quam $\nu\delta\lambda$[6]); ergo *astrum* μ ab occasu vespertino ad ortum

3) Autol. de sphaer. 9.
4) Supponitur enim cum ξ astro occidere. AURIA in marg. p. 53.
5) Eucl. phaenom. 6.
6) Conf. *σχόλιον* $\mu\beta$ et in appendice 61.

ρον, καὶ ἀπὸ τῆς ἑσπερίας ἀνατολῆς ἐπὶ τὴν ἑσπερίαν δύσιν πρότερον.

θ'. Τῶν ἐπὶ τοῦ αὐτοῦ κύκλου φερομένων ἄστρων ὅσα ἀπολαμβάνεται ὑπὸ τοῦ ζῳδιακοῦ ἐπὶ τὰ πρὸς ἄρκτους, ἐκεῖνα ἐλάσσονα χρόνον κρύψιν ἄξει τῶν ἐπὶ τὰ νότια τοῦ ζῳδιακοῦ.



Ἔστω ὁρίζων ὁ ΑΓΒΔ, μεσημβρινὸς δὲ ὁ ΑΒ, ὁ δὲ τῶν ζῳδίων ὁ ΓΔ, καὶ γεγράφθω παράλληλος κύκλος ὁ ΗΘ, καὶ ἔστω ἐπ' αὐτοῦ δύο ἄστρα τὰ Η Κ, βορειότερον μὲν τοῦ ζῳδιακοῦ τὸ Η, νοτιώτερον δὲ τὸ Κ· λέγω ὅτι τὸ Η τοῦ Κ ἐλάσσονα χρόνον κρύψιν ἄγει.

Ἐπεὶ γὰρ δύο ἄστρα ἐστὶν τὰ Η Κ, βορειότερον μὲν τὸ Η, ⟨νοτιώτερον δὲ τὸ Κ⟩, ἐπὶ δὲ τοῦ ζῳδιακοῦ τὸ Ε, ἐλάσσονα χρόνον κρύψιν ἄγει τὸ Η τοῦ Ε. καὶ ἐπεὶ ἐπὶ τοῦ μεσημβρινοῦ δύο ἄστρα ἐστὶν τὰ Ε Κ, βορειότερον μὲν τὸ Ε, νοτιώτερον δὲ τὸ Κ, ἐλάσσονα χρόνον κρύψιν ἄξει τὸ Ε τοῦ Κ. ἀλλὰ τὸ Η τοῦ Ε ἐλάσσονα χρόνον κρύψιν ἄγει· τὸ Η ἄρα τοῦ Κ ἐλάσσονα χρόνον κρύψιν ἄξει.

(μγ) Ἀπὸ τοῦ ι' τοῦ περὶ ἐπιτολῶν καὶ δύσεων τοῦ α' βιβλίου.

(μδ) Οὐ μόνον γὰρ ἐπὶ τοῦ ὁρίζοντος τὰ ἄστρα λαμβάνονται τοῦ ζῳδιακοῦ βορειότερα καὶ νοτιώτερα, ἀλλὰ καί, ὡς ἐνταῦθα, τὸ ὑπ' αὐτὸν τὸ Κ νοτιώτερον οὐκ ἐπὶ τοῦ ὁρίζοντος ὄν.

(με) Ἀπὸ τοῦ ιε' τοῦ α' βιβλίου τοῦ αὐτοῦ.

FIGURA similis exstat in codicibus ACE, nisi quod zodiacus eandem positionem habet quam in figuris theorematis 5.

vespertinum posterius, et ab ortu vespertino ad occasum vespertinum prius pervenit.

Prop. 9

IX. Astrorum, quae in eodem circulo feruntur, quaecunque a zodiaco septentrionem versus intercipiuntur, ea minore tempore occulta erunt quam quae sunt ad zodiaci partes meridionales.

Sit horizon $\alpha\gamma\beta\delta$[1]), meridianus $\alpha\beta$, zodiacus $\gamma\delta$, *et in sectione meridiani cum zodiaco sit astrum* ε, et describatur circulus parallelus $\eta\vartheta$, sintque in eo duo astra η $\varkappa$, quorum sit η borealius quam zodiacus, $\varkappa$ autem meridionalius *idemque in meridiano positum*; dico astrum η minore tempore occultari quam $\varkappa$.

Quoniam enim duo astra sunt η $\varkappa$, quorum η borealius, $\varkappa$ autem meridionalius est[2]), inque zodiaco est astrum ε, minore igitur tempore astrum η quam ε occultatur[3]). Et quia in meridiano duo astra sunt ε $\varkappa$, quorum ε borealius est, $\varkappa$ autem meridionalius[4]), minore tempore ε quam $\varkappa$ occultabitur[5]). Sed astrum η minore tempore quam ε occultatur; ergo η minore tempore quam $\varkappa$ occultatur.

---

1) α sit septentrio, β meridies, δ oriens, γ occidens. AURIA in marg. p. 54.

2) Ut ponitur. IDEM.

3) Libri primi propositio 10 citatur a scholiasta Graeco ($\mu\gamma$) et Auria in marg. p. 54; at vero de hoc loco idem plane valet, quod de illo qui statim sequitur (vide adnot. 5).

4) Conf. *σχόλιον μδ* et in appendice 62.

5) Libri primi propositio 15 citatur a scholiasta Graeco ($\mu\varepsilon$), quae scriptura si vera est, pleniorem ille librum Autolyci in manibus habuit eo contextu, qui nunc exstat. Utique in iis theorematis, quae ad nostram aetatem pervenerunt nullum invenitur, quod plane ad hunc locum conveniat. Nam libri primi propositio 9 similis est, neque tamen eadem atque illa in scholio citata.

(μς) ι'. *Τοῖς ἀπολαμβανομένοις ὑπὸ τοῦ ζῳδιακοῦ κατὰ τὰς ἀνατολὰς ἐπὶ τὰ πρὸς ἄρκτους μέρη, ἐὰν τὰ συνδύνοντα ἀπέχῃ τῶν συνανατελλόντων αὐτοῖς ἔλαττον ἡμίσους ζῳδίου, ἐκεῖνα ἀπὸ τῆς ἑῴας ἐπιτολῆς ἐπὶ τὴν ἑσπερίαν ἐπιτολὴν παραγίγνεται διὰ πενταμήνου καὶ τοῦτον τὸν χρόνον ἀνατέλλοντα θεωρηθήσεται,*

(μζ) *ἀπὸ δὲ τῆς ἑσπερίας ἐπιτολῆς ἐπὶ τὴν ἑῴαν δύσιν διὰ πλειόνων ἢ τριάκοντα ἡμερῶν καὶ τοῦτον τὸν χρόνον κρύψιν ἄξει, ἀπὸ δὲ τῆς ἑῴας δύσεως ἐπὶ τὴν ἑσπερίαν δύσιν διὰ πενταμήνου καὶ τοῦτον τὸν χρόνον δύνοντα ὁραθήσεται, ἀπὸ δὲ τῆς ἑσπερίας δύσεως ἐπὶ τὴν ἑῴαν ἐπιτολὴν δι' ἐλαττόνων ἥξει ἢ τριάκοντα ἡμερῶν καὶ τοῦτον τὸν χρόνον κρύψιν ἄξει.*

Ἔστω ὁρίζων ὁ ΑΓΒ, ὁ δὲ τῶν ζῳδίων ὁ ΓΔ, καὶ ἄστρον τι ἔστω ἐπὶ τοῦ ὁρίζοντος ἐπὶ τῆς ἀνατολῆς πρὸς ἄρκτους τὸ Ε· τὸ δὴ Ε ἅμα μὲν τῷ Δ ἀνατέλλει, οὐχ ἅμα δὲ αὐτῷ δύνει· τῶν ἄρα ἑπομένων τινὶ τῷ Δ συνδύνει. συνδυνέτω τῷ Η· ἡ



(μη) *ἄρα ΗΔ ἐλάττων ἐστὶν ἡμίσους ζῳδίου (τοῦτο γὰρ ἐν τῇ προτάσει βούλεται ὑποκεῖσθαι), καὶ ἀπειλήφθω*

(μς) Ἔδειξε τὰς φάσεις ταύτας ἐν τῷ ϛ' θεωρήματι· πλέον δ' ἔτι ἔχει ἐνταῦθα τὸ δεικνύειν διὰ πλειόνων ἡμερῶν λ' καὶ ἐλασσόνων ἡμερῶν λ' γίνεσθαι ἃς λέγει φάσεις. ὁμοίως καὶ εἰς τὸ ἑξῆς.

(μζ) Ἐν τῷδε διὰ πλειόνων ἡμερῶν λ' καὶ ἐλασσόνων ἡμερῶν λ' ἀνάπαλιν ἔχουσιν αἱ κρύψεις. ἐν τούτῳ τε καὶ τῷ ἑξῆς.

(μη) Ἐπειδὴ ἡ ΔΗ ἐλάσσων ὑπόκειται.

X. Si quae astra a zodiaco ad partes orientales intercipiuntur septentrionem versus, et ea quae simul cum his occidunt minus dimidio signo distant ab iis quae simul oriuntur, illa ab ortu matutino ad ortum vespertinum quinque mensibus perveniunt et hoc tempore orientia conspicientur, ab ortu autem vespertino ad occasum matutinum plus triginta diebus et hoc tempore occulta erunt, ab occasu autem matutino ad occasum vespertinum quinque mensibus et hoc tempore occidentia videbuntur, denique ab occasu vespertino ad ortum matutinum minus triginta diebus pervenient et hoc tempore occulta erunt. Prop. 10

Sit horizon $\alpha\gamma\beta$, zodiacus autem $\gamma\delta$, sitque in horizonte astrum aliquod ε ad partes orientales idque septentrionem versus[1]); hoc igitur simul cum δ oritur, neque tamen simul occidit[2]); ergo simul cum aliquo eorum quae ipsum δ sequuntur occidit. Occidat simul cum η, sitque circumferentia $\eta\delta$ minor dimidio signo[3]), et auferatur dimidii signi circumferentia $\delta\vartheta$,

---

PROPOS. 10: spatia maiora minorave triginta diebus comparanda sunt cum ipso tricenorum dierum tempore, quod in sexta huius libri propositione ponitur (conf. *σχόλιον μς*); alia est ratio propositionis decimae primi libri, ubi de astris borealibus quae nunquam occultantur agitur.

FIGURA similis exstat in codicibus ACE, nisi quod in AC zodiacus eandem positionem habet quam in figuris theorematis 5. Desunt in C littera ε, in E notae adscriptae *ἑῴα* [*ἑώα* AC] *δύσις* etc.

1) Septentrio sit α, meridies β, oriens sit versus δ, occidens versus γ punctum. AURIA in marg. p. 56.

2) Autol. de sphaer. 9.

3) Graeca verba praeter solitum composita sunt; namque aliud est concludere aliquid ex praecedentibus per *ἄρα* (ut in libris manu scriptis h. l. et similiter in proximis theorematis traditum est), aliud construere figuram secundum ea quae in

ἡμίσους ζῳδίου περιφέρεια ἡ ΔΘ, καὶ ἔτι ἡ ΚΓ, καὶ ἔστω τῷ Η κατὰ διάμετρον τὸ Λ, καὶ ἀπειλήφθω ἡμίσους ζῳδίου περιφέρεια ἡ ΛΜ, καὶ ἔτι ἡ ΝΔΗ. ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Θ ὄντος τὸ Δ ἑῷον ἀνατέλλει, καὶ τὸ Ε, πάλιν ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Γ ἑσπέριον δύνει (προδύνει γὰρ τὸ Κ τοῦ Γ), τοῦ δὲ Γ δύνοντος τὸ Δ ἀνατέλλει,



καὶ τὸ Ε, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Ε ἑσπέριον ἀνατέλλει· ἀπὸ ἄρα ἑῴας ἐπιτολῆς ἐπὶ ἑσπερίαν ἐπιτολὴν παραγίγνεται τὸ Ε ἄστρον ἐν ᾧ ὁ ἥλιος τὴν ΘΚ περιφέρειαν διέρχεται. καὶ ἔστιν ἡ ΘΚ πέντε μηνῶν. καὶ ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Μ ὄντος τὸ μὲν Λ ἑῷον ἀνατέλλει (προανατέλλει γὰρ τὸ Λ τοῦ Μ), τοῦ δὲ Λ ἀνατέλλοντος τὸ Η δύνει, καὶ τὸ Ε, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Μ ὄντος τὸ Ε ἑῷον δύνει· τὸ ἄρα Ε ἄστρον παραγίγνεται ἀπὸ ἑσπερίας ἐπιτολῆς ἐπὶ ἑῴαν
(μθ) δύσιν ἐν ᾧ ὁ ἥλιος τὴν ΚΓΜ περιφέρειαν διέρχεται.
(ν) καὶ ἔστι μείζων ζῳδίου. πάλιν ἐπεὶ τοῦ ἡλίου ἐπὶ τοῦ Ν ὄντος τὸ Η ἑσπέριον δύνει (προδύνει γὰρ τοῦ Η τὸ Ν), τοῦ δὲ Η δύνοντος καὶ τὸ Ε ἑσπέριον

(μθ) Καὶ δῆλον ὅτι κρύψιν ἄξει τὸ Ε ἄστρον, ἐν ᾧ ὁ ἥλιος τὴν ΚΓΜ περιφέρειαν διέρχεται. ἐπεὶ γὰρ τοῦ ἡλίου ἐπὶ τοῦ Κ ὄντος τὸ Ε ἑσπέριον ἐπιτέλλει, τουτέστιν ἑσχάτως φαίνεται ἐπιτέλλον, τοῦ δὲ ἡλίου ἐπὶ τοῦ Μ ὄντος τὸ Ε ἑῷον δύνει, τουτέστι πρώτως φαίνεται δῦνον, τοῦ ἄρα ἡλίου τὴν ΚΓΜ περιφέρειαν διερχομένου κρύψιν ἄξει τὸ Ε.

(ν) Ὡς κεῖται ὁ ζῳδιακός.

itemque $\varkappa\gamma$, et sit λ ipsi η iuxta diametrum oppositum, et auferatur dimidii signi circumferentia $\lambda\mu$, itemque $\nu\delta\eta$. Quia, cum sol in ϑ est, astrum δ matutinum oritur, itemque ε[1]), porro quia, cum sol in $\varkappa$ est, astrum γ vespertinum occidit (nam $\varkappa$ prius quam γ occidit), occidente autem γ ipsum δ oritur[2]), itemque ε, astrum igitur ε, cum sol in $\varkappa$ est, vespertinum oritur; ergo ab ortu matutino ad ortum vespertinum astrum ε pervenit eo tempore, quo sol circumferentiam $\vartheta\varkappa$ percurrit. Et est circumferentia $\vartheta\varkappa$ quinque *signorum ergo astrum* ε *quinque* mensibus *hanc percurrit.* Et quia, cum sol in μ est, astrum λ matutinum oritur (nam λ prius quam μ oritur[3]), oriente autem λ ipsum η occidit, itemque ε[4]), astrum igitur ε, cum sol in μ est, matutinum occidit; ergo ab ortu vespertino ad occasum matutinum astrum ε pervenit eo tempore, quo sol circumferentiam $\varkappa\gamma\mu$ percurrit. Et est *circumferentia* $\varkappa\gamma\mu$ maior *uno* signo[5]); *ergo astrum* ε *pluribus quam triginta diebus hanc percurrit*[6]). Rursus quia, cum sol in ν est, astrum η vespertinum occidit (prius enim ν quam η occidit), occidente autem η astrum quoque ε vespertinum occidit, astrum igitur ε, cum

enuntiatione theorematis proposita sunt. Rectum dicendi genus codices exhibent infra in propos. 15—18.

1) Simul enim oriuntur et δ et ε astrum. AURIA in marg. p. 56. Scilicet in hypothesi hoc est positum.

2) Eucl. phaenom. 6.

3) Veluti antegrediens. AURIA in marg. p. 56.

4) Simul enim occidunt η astrum et ε. IDEM. Ex hypothesi scilicet.

5) Id est, plus quam 30 grad. continet. IDEM.

6) Ex enuntiatione huius theorematis (p. 134, 8) apparet insuper demonstrandum esse illud quod propositum est: *καὶ τοῦτον τὸν χρόνον κρύψιν ἄξει.* Hoc non omisit scriptor Graeci scholii $\mu\vartheta$ (append. 63).

δύνει, τοῦ ἄρα ἡλίου ἐπὶ τοῦ Ν ὄντος τὸ Ε ἑσπέριον δύνει· ἀπὸ ἄρα τῆς ἑῴας δύσεως ἐπὶ τὴν ἑσπερίαν δύσιν παραγίγνεται τὸ Ε ἄστρον ἐν ᾧ ὁ ἥλιος τὴν ΜΝ περιφέρειαν διέρχεται. καὶ ἔστιν ἡ ΜΝ πέντε μηνῶν. ἐν ᾧ δὲ ὁ ἥλιος τὴν ΝΔΘ περιφέρειαν διαπορεύεται, τὸ Ε
(να) κρύψιν ἄγει. καὶ ἔστιν ἡ ΝΔΘ ἐλάσσων ζῳδίου.

ια΄. Ὅσα τῶν ἄστρων ἀπολαμβάνεται ὑπὸ τοῦ ζῳδιακοῦ ἐπὶ τὰ πρὸς μεσημβρίαν, [ἐκείνοις] ἐὰν τὰ συνεπιτέλλοντα ἀπὸ τῶν συνδυνόντων ἀπέχῃ ἐλάττονα ἡμίσους ζῳδίου περιφέρειαν, ἐκεῖνα ἀπὸ τῆς ἑῴας ἀνατολῆς ἐχομένην τὴν ἑσπερίαν ἐπιτολὴν ποιήσεται, ἔπειτα τὴν ἑῴαν δύσιν δι' ἐλασσόνων ἢ λ' ἡμερῶν, εἶτα τὴν
(νβ) ἑσπερίαν δύσιν, εἶτα τὴν ἑῴαν ἐπιτολήν, κρύψιν τε πλείονα χρόνον ἄξει τῶν ἐπὶ τοῦ ζῳδιακοῦ τεταγμένων ἄστρων.

Ἔστω ὁρίζων ὁ ΑΒ, ὁ δὲ τῶν ζῳδίων ὁ ΓΔ, καὶ εἰλήφθω ἄστρα δύο ἐπὶ τῆς ἀνατολῆς τὰ Δ Ε, καὶ τὸ Ε τῷ Δ ἅμα ἀνατελλέτω, πρότερον δὲ δυνέτω· τῶν ἄρα προηγουμένων τινὶ συνδύνει. συνδυνέτω τῷ Ζ· ἡ ἄρα ΖΔ περιφέρεια ἐλάττων ἐστὶν ἡμίσους ζῳ-

(να) Ἐπεὶ γὰρ ἡ ΝΔΗ ἡμίσους ἐληφθη ζῳδίου, ἡ ΝΔ ἐλάττων ἡμίσους ἐστὶ ζῳδίου. ἡμίσεος δὲ ἡ ΔΘ· ὅλη ἄρα ἡ ΝΔΘ ἐστὶν ἐλάττων ζῳδίου.

(νβ) Τουτέστι διὰ πλειόνων ἢ λ' ἡμερῶν ἀπὸ ἑσπερίας δύσεως ἐπὶ ἑῴαν ἐπιτολὴν παραγίνεται· τὰ γὰρ ἐπὶ τοῦ ζῳδιακοῦ διὰ λ' ἡμερῶν ποιεῖται διὰ τὸ ς' θεώρημα.

1) Hoc loco scriptor eadem brevitate utitur quam supra p. 137 suppletis paucis verbis explanavimus. Conf. praefat. ad p. 136, 16 sq. 23; 138, 4—6, et in appendice schol. 64.

2) Haec quoque pars demonstrationis in brevius contracta est. Ad extrema verba 'Id est minor quam 30. Grad.' adnotat Auria in marg. p. 57. Et conf. σχόλιον να (append. 65) atque in praefatione adnot. ad p. 138, 4—6.

FIGURA similis exstat in codicibus ACE, nisi quod zodiacus eandem positionem habet quam in figuris theorematis 5, et littera ε deest. Notas ἑῴα [ἑῴα AC] δύσις etc. om. E.

sol in ν est, vespertinum occidit; ergo ab occasu matutino ad occasum vespertinum astrum ε pervenit eo tempore, quo sol circumferentiam $\mu\nu$ percurrit, quae quinque mensium est[1]). Sed quo tempore sol circumferentiam $\nu\delta\vartheta$ percurrit, astrum ε occultatur; et est circumferentia $\nu\delta\vartheta$ minor uno signo[2]).

Prop. 11

XI. Si quae astra a zodiaco *ad partes orientales* intercipiuntur meridiem versus, et ea quae simul cum his oriuntur ab iis quae simul occidunt minus dimidii signi circumferentia distant, illa post ortum matutinum deinceps ortum vespertinum facient, tum occasum matutinum minus XXX diebus, porro occasum vespertinum, denique ortum matutinum, atque *ab occasu vespertino ad ortum matutinum* longiore temporis spatio occulta erunt quam astra quae in zodiaco posita sunt.



Sit horizon $\alpha\beta$, zodiacus autem $\gamma\delta$[3]), et sumantur duo quae sint in ortu astra δ ε, et astrum ε simul cum δ oriatur, prius autem occidat[4]); ergo simul cum aliquo eorum quae antecedunt occidit. Occidat simul cum ζ, sitque circumferentia $\zeta\delta$ minor dimidio signo[5]).

3) Oriens sit δ punctum, occidens γ, septent. sit α, merid. vero β. AURIA in marg. p. 59.

4) Autol. de sphaer. 9.

5) Minor grad. 15, ut auctor in proposit. supponit. AURIA in marg. p. 58. De Graecis verbis insolito more compositis conf. p. 135 adn. 3.

